ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τἀγαθά. 80
Ἅπασι⟨ν⟩ ἡμῖν ἡ συνείδησις θεός.
Ἀνώμαλοι πλάστιγγες ἀστάτου τύχης.
Ἄγει πονηρὰ πρᾶξις εἰς κακὸν κλέος.
Ἄγρυπνον ὄμμα τοὺς λογισμοὺς εἰσβλέπει.
Ἀνὴρ ἀπειθὴς εἰς ἐχθρῶν πίπτει δόλους,
αὐτὸς γὰρ οἶδεν οὐδὲ{ν} εἰς τὸ συμφέρον.
Ἀπῆλθεν οὐδεὶς τῶν βροτῶν πλοῦτον φέρων.
Ἄκουε πάντα καὶ λάλει καιρῷ, φίλος.

68 U ‖ 69 *δ* ‖ 70 *ζΓ* ‖ 71 U ‖ 72 *ζΓ* ‖ 73 K ‖ 74 *δΓ* ‖ 75 *ζ* ‖ 76 *δΓ* ‖ 77 U ‖ 78 K ‖ 79 U ‖ 80 U ‖ 81 *δ* ‖ 82 U ‖ 83 U ‖ 84—90 U

68 = Pap. XIII 2—3 | cf. mon. 69, 540 ‖ 69 ∼ Pap. VIII 1 | cf. mon. 68 ‖ 71 cf. mon. 34 ‖ 72 cf. mon. 591 ‖ 74 cf. mon. 628 ‖ 76 ∼ Pap. XIV 2 ‖ 77 cf. Stob. 3, 2, 24; mon. 679 ‖ 78 cf. mon. 59 ‖ 79 cf. mon. 16, qui versus propositus est in U ‖ 81 ∼ mon. 107 ‖ 82 = adesp. fr. 179 TGF² (in U sequuntur mon. 768 et 769) ‖ 83 cf. mon. 108, 128 ‖ 84 cf. mon. 53 ‖ 88 cf. Stob. 3, 1, 172 *ζ*; flor. *ἄριστον* Nr. 35; mon. 95, 455

68 *ἔστω* Nck., *ἐστι* cod. ‖ 69 *λόγος*] *τρόπος* Pap. VIII 1 ‖ 70 *’στὶν* My., *ἐστὶν* K, *ἐσθ’* UV ‖ 71 *ἐγγὺς οἱ φίλοι* Th., *ἔγγυστα φίλοι* U (in U sequitur mon. 34) ‖ 72 *ἄξεις ἀλύπως* Boiss., *ἄλυπον ἕξεις* U*Γ*, *ἀλύπως ἄξεις* cett. ‖ 76 *ἀνάπαυσις . . . κακῶν* Erbse, *ἀνάπαυσίς ἐστι τῶν κ. π. ὕπνος δ*, *τῶν κ. π. ἀπραξία Γ* ‖ 81 add. Th. | *συνείδησις θεός* mon. 107, *συνείδησις πρώτη θεός δ* ‖ 83 *κλέος*] *τέλος* Nck. ‖ 86 *οὐδὲ{ν}* Th.

Ἀφίλητος εἶναι μὴ θελήσῃς ἐν βίῳ.
Ἄμεινόν ⟨ἐστιν⟩ ἀνδρὶ μὴ γαμετὴν {ἐκ}τρέφειν.
Ἀμελοῦντα τοῦ ζῆν οὐκ ἔνεστ᾽ εὐσχημονεῖν.
Ἀκμὴ τὸ σύνολον οὐδὲν ἄνθους διαφέρει.
Ἀεὶ κράτιστόν ἐστι τἀσφαλέστατον.
Ἀγαθὰ προθύμως καὶ λάλει καὶ μάνθανε.
Ἄκουε πάντων, ἐκλέγου δ᾽ ἃ συμφέρει.
Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ.
Βιοῦν ἀλύπως θνητὸν ὄντ᾽ οὐ ῥᾴδιον.
Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.
Βραδὺς πρὸς ὀργὴν ⟨κ⟩ἀγκρατὴς φέρειν γενοῦ.
Βέβαιος ἴσθι καὶ βεβαίοις χρῶ φίλοις.
Βάδιζε τὴν εὐθεῖαν, ἵνα δίκαιος ἦς.
Βούλου δ᾽ ἀρέσκειν πᾶσι, μὴ σαυτῷ μόνῳ.
Βίον πορίζου πάντοθεν πλὴν ἐκ κακῶν.
Βουλόμεθα πλουτεῖν πάντες, ἀλλ᾽ οὐ δυνάμεθα.
Βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται βίον.
Βίος κέκληται δ᾽ ὡς βίᾳ πορίζεται.

91—93 *Γ* ‖ **94—95** *v* ‖ **96** *χ Γ* **Jos** ‖ **97** *χ ζ Γ* **Giess Ven** ‖ **98** *χ ζ γ Γ* ‖ **99** *χ ζ Γ* ‖ **100** *χ ζ Γ v* ‖ **101** *ψ Γ* ‖ **102** *χ λ Γ* **Vat** ‖ **103** *ψ Γ* ‖ **104** *ψ Γ* ‖ **105** *χ* **U** *Γ* **Giess Jos** ‖ **106** *χ Γ*

90 cf. Eurip. Iph. Aul. 749—750 ‖ **93** cf. Stob. 3, 11, 11 (Men. II fr. 421, 1) ‖ **94** = Pap. XIII 4 | cf. Comp. I 130; mon. 397, 781 ‖ **96** = Stob. 4, 41, 47 (Diph. fr. 109 Kock), ubi sequitur mon. 105 ‖ **97** cf. mon. 570; Comp. I 238 ‖ **98** = Men. II fr. 940 | cf. mon. 491 ‖ **99** = Pap. XIV 18 ‖ **102** cf. mon. 59, 678; flor. *ἄριστον* Nr. 21 ‖ **103** = Comp. I 153 ‖ **104** = Comp. I 82 = Pap. XIII 6—7 | cf. mon. 273, 329 ‖ **105** ~ Stob. 4, 41, 47 (Diph. fr. 110 Kock) | cf. mon. 96 ‖ **106** cf. Lucilius, 1340 (Marx) 'vis est vita, vides, vis nos facere omnia cogit'

90 add. et del. Erbse ‖ **94** *καὶ* (ante *λάλει*) om. **Taur** ‖ **96** *βέβαιον οὐδὲν ἐν βίῳ δοκεῖ πέλειν Γ* ‖ **97** *βιοῦντ᾽ ἀλύπως θνητὸν ὄνθ᾽ εὑρεῖν μέγα* **U** ‖ **98** *βέλτιστε, . . . σκόπει*] *βέλτιστον . . . σκοπεῖν* **B** *λ* ‖ **99** *⟨κ⟩ἀγκρατὴς* Th., *ἐγκρατὴς* codd. | *γίνου δ᾽ ἐς ὀργὴν μὴ ταχὺς ἀλλὰ καὶ βραδύς Γ* ‖ **100** *βεβαίοις*] *βέβαιος* **A D**, *βεβαίως δ Γ* | *ταπεινὸς ἴσθι καὶ ταπεινοῖς χρῶ φ.* **H** ‖ **101** *ἵνα*] *ἣν Γ* ‖ **102** *μὴ*] *εἰ* **Vat** | *β. δ᾽ ἀ. μὴ μόνῳ σαυτῷ, φίλε* **D** ‖ **103** *πορίζου πάντοθεν πλὴν*] *πόριζε δίκαιον μὴ* Comp. I 153 ‖ **105** *γὰρ*] *μὲν χ Γ* | *βίον*] *τρόπον* Stob. ‖ **106** *ὡς*] *ὃς* Mk., *ὅτι* Br.

Βροτοῖς ἅπασιν ἡ συνείδησις θεός.
Βίου δικαίου γίγνεται τέλος καλόν.
Βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον.
Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται.
Βουλὴν ἅπαντος πράγματος προλάμβανε.
Βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσών.
Βούλου γονεῖς πρώτιστον ἐν τιμαῖς ἔχειν.
Βοηθὸς ἴσθι τοῖς καλῶς εἰργασμένοις.
Βίος βίου δεόμενος οὐκ ἔστιν βίος.
Βέλτιόν ἐστι σῶμά γ' ἢ ψυχὴν νοσεῖν.
Βίου σπάνις πέφυκεν ἀνδράσιν γυνή.
Βίον καλὸν ζῇς, ἂν γυναῖκα μὴ τρέφῃς.
Βλάβος φέρει σοι κέρδος ἄδικον †ἅπαν.
Βίος ἐστίν, ἄν τις τῷ βίῳ χαίρῃ βιῶν.
Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν ἄλλων κακά.
Βακτηρία γάρ ἐστι παιδεία βίου.

107 *χΓ* || **108** *ψδΓ* || **109** *χγΓ* || **110** *ψΓ* || **111** *χγΓ* Giess || **112** *χεΓ* || **113** *χγΓ* || **114** *χδΓ* || **115** *χεΓ* Giess || **116** *χεΓ* Giess || **117** *χ*W*Γ* || **118** *χγυ* || **119** DC_2 || **120–121** *Γ* || **122** *δ*B*Γ* Jos

107 cf. mon. 81 || **108** = Pap. XIV 13 | cf. Pap. XIII 6; mon. 83, 128 || **110** = Pap. XIV 15 = Eurip. Alc. 782 (Stob. 4, 51, 13), cf. Eurip. Alc. 418–419 || **112** = Pap. XIV 16 || **113** = Stob. 4, 25, 30 (Chaerem. fr. 34 TGF²; Philem. fr. 199 Kock) | cf. mon. 133, 162, 322, 352, 525, 526, 674 || **115** = Pap. II 2 = Pap. XIII 4–5 = Pap. XIV 11 | cf. mon. 820 || **118** ∼ Stob. 4, 22, 48 (Philem. fr. 239 Kock) | cf. mon. 700 || **119** cf. mon. 405, 422, 728, 755; Eurip. Cycl. 312; Soph. fr. 738 TGF² || **122** cf. Pap. VIII 2; mon. 2, 384, 436

107 *βροτοῖς ἅπασιν*] *ἅπασιν ἡμῖν* mon. 81 || **108** *βίου*] *ἀνδρὸς δ*, *βίος* B | *γενήσεται* Pap. || **110** *κατθανεῖν*] *ἀποθανεῖν ψ*, *τὸ θανεῖν* Pap. || **111** *ἅπαντος*] *δὲ παντὸς Γ* || **112** *εἰς ὀργὴν πεσών*] *ὡς οὐδὲν ἄλλο* K, *πεσεῖν* B || **113** *πρώτιστον* Stob., *πρὸ παντὸς Γ*, *πρὸ πάντων* cott. | *ἐν τιμαῖς*] *ἐντίμως γ* | *βούλου πρὸ πάντων ἐν τιμαῖς γονεῖς ἔχειν* D || **114** *ζήτει ποιεῖν εὖ τοῖς καλῶς εἰργασμένοις δ* | *κακῶς* C_1 || **118** *ἂν*] *κἂν* H, *ἐὰν γ* | *τρέφῃς* Mk., *τρέφεις* F, *ἔχῃς* cott. et Stob., *λάβῃς* Wakefield || **119** *βλάβος*] *βλάβην* C_2 | *βλάβος φέρειν σοι κέρδος ἄδικον* [α]*πᾶν* ⟨*θέλει*⟩ Erbse || **121** *ἄλλων*] *πολλῶν* Mk. || **122** *βακτηρία γάρ ἐστι παιδεία βίου Γ*, *ἡ παιδεία τοῦ βίου ἐστὶν ἡ βακτηρία* cott.

†Βίος μὲν οὐδεὶς σκαιὸν ἔργον εἰσφέρει. †
Βραβεῖον ἀρετῆς ἐστιν εὐπαιδευσία.
Βουλὴν γερόντων πᾶσαν εἰς πρᾶξιν λαβέ.
Βουλῆς ἄμεινον οὐδέν ἐστιν ἐν βίῳ.
Βουλῇ πονηρᾷ μηδ' ὅλως κρατεῖν θέλε.
Βίος πονηρὸς εἰς κακὸν φέρει τέλος.
Βέβαιος οὐδεὶς ἄρτι τῶν φίλων μένει.
Βαβαὶ τὸ μικρὸν ὄμμα πῶς πολλὰ βλέπει.
Βίον κρατύνει μῦθος ἢ χρυσὸς βροτοῦ.
†Βάρος μολίβδου καὶ κακῶν βροτῶν ἴσον. †
Βούλου τὸ πρῶτον εὐσεβεῖν πρὸς τὸν θεόν.
Βουλὴ πονηρὰ χρηστὸν οὐκ ἔχει τέλος.
Βάδισμα καὶ στόλισμα σύμμετρον φέρε.
Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.
Γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.
Γίνωσκε σαυτὸν νουθετεῖν ἄλλους θέλων.
Γυναιξὶ πάσαις κόσμον ἡ σιγὴ φέρει.
Γυναικὸς ἐσθλῆς ἐστι σῴζειν οἰκίαν.
Γυνὴ γὰρ οἴκῳ πῆμα καὶ σωτηρία.
Γυναικὶ μὴ πίστευε τὸν σαυτοῦ βίον.
Γυνὴ γὰρ οὐδὲν οἶδε πλὴν ὃ βούλεται.

123 δ || **124** δΓ || **125—132** U || **133—134** υ || **135** Ven || **136** χζ Γυ || **137** χΓ || **138** χζ || **139** χζγΓ || **140** χεΓ Ven Gless || **141** χζΓ || **142** χζΓ Par || **143** χζΓ

128 cf. mon. 83, 108 || **136** = Stob. 3, 33, 4 (Chares I 22) | cf. Vit. p. 101, 40 || **137** = Stob. 3, 17, 3 (Chares II 2) || **139** = Pap. XIV 22 | cf. Stob. 4, 28, 1 (Soph. Aiax 293) || **141** cf. mon. 149 || **142** = Pap. XIV 24

123 *βίος μὲν*] *βία γὰρ* Blaydes | *βίος μὲν οὐδὲν σκαιὸς ἔργον εἰσφέρει* Erbse, *βίον μὲν οὐδὲν* Sn. || **127** *βουλῇ πονηρᾷ* Mk., *βουλὴν πονηρὰν* U | *μηδ' ὅλως κρατεῖν θέλε* Th., *μὴ θέλε κρατεῖν ὅλως* U || **132** *κακῶν* Erbse, *κακὸς βροτῶν* U, *πλουτῶν* vel *κρατῶν* My. || **136** *πανταχῇ* RH Coll | in U praecedit mon. 48 || **138** *ἄλλους θέλων* U codd., *ὅπου τρέχεις* χδ || **139** *γυναικὶ πάσῃ* ΓΣ | *φέρει*] *πρέπει* PK, *πρέπων* R || **140** *οἰκίαν* Th., *οἰκίας* codd. || **141** *γὰρ*] *ἐν* ζ || **142** *γυναιξὶ* D | *σαυτοῦ*] *ἑαυτοῦ* Pap. XIV 24 | *βίον*] *οἶκον* A, *λόγον* D, *βίου* Pap. XIV 24 || **143** *οἶδε*] *ἐστι* U

Γέλως ἄκαιρος κλαυθμάτων παραίτιος.
Γῆ πάντα τίκτει καὶ πάλιν κομίζεται.
Γέρων ἐραστὴς ἐσχάτη κακὴ τύχη.
Γαμεῖν ὁ μέλλων εἰς μετάνοιαν ἔρχεται.
Γυναικὶ κόσμος ὁ τρόπος, οὐ τὰ χρυσία.
Γυνὴ δικαία τοῦ βίου σωτηρία.
Γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.
Γυναῖκα θάπτειν κρεῖσσόν ἐστι⟨ν⟩ ἢ γαμεῖν.
Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν.
Γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει.
Γάμει δὲ μὴ τὴν προῖκα, τὴν γυναῖκα δέ.
Γυνὴ δὲ χρηστὴ πηδάλιόν ἐστ' οἰκίας.
Γήρως δὲ φαύλου τίς γένοιτ' ἂν ἐντροπή;
Γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις.
Γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων.
Γάμος γὰρ ἀνθρώποισιν εὐκταῖον κακόν.
Γαμεῖν δὲ μέλλων βλέψον εἰς τοὺς γείτονας.
Γύμναζε παῖδας· ἄνδρας οὐ γὰρ γυμνάσεις.

144 χγΓU ‖ **145** χεΓ ‖ **146** χγΓ Gless Jos ‖ **147** AKγΓ ‖ **148** χζυΓ ‖ **149** χΓ ‖ **150** χγ ‖ **151** χΨΓ Par ‖ **152** χζΨΓ ‖ **153** ψΓ ‖ **154** χ ‖ **155** χΓ ‖ **156** χγΓ ‖ **157** χΓ ‖ **158** χΓ ‖ **159** χγΓ Gless ‖ **160** ψΓ ‖ **161** A

145 cf. Eurip. fr. 195 TGF[2]; Vit. p. 102, 8—9; Comp. I 113; mon. 312 ‖ **146** = Pap. XIV 19 ‖ **147** ~ Pap. XIV 23 ~ Stob. 4, 22, 51 (Philem. fr. 198 Kock) ‖ **149** = Pap. XIII 7—8 | cf. mon. 141 ‖ **150** ~ Stob. 4, 22, 49 (Diph. fr. 115 Kock) ‖ **151** ~ Stob. 4, 22, 50 (Chaerem. fr. 32 TGF[2]; Philem. fr. 236 Kock) ‖ **152** = Stob. 3, 35, 6a = Pap. XIV 21 | cf. Pap. II 1 (Pap. XIII 1—2); mon. 568, 865 ‖ **154** = Pap. XIII 8—9 | cf. mon. 296 ‖ **158** = Stob. 4, 50, 2 (Eurip. fr. 291 TGF[2]) | cf. mon. 164, 524 ‖ **159** cf. mon. 877; Stob. 4, 22, 55

144 *κλαυθμάτων παραίτιος* U. *ἐν βροτοῖς δεινὸν κακόν* cett. ‖ **145** *γῆ*] *χθὼν* ε ‖ **147** *ὁ μέλλων*] *ὅς ἐθέλει* Stob., *ὁ σπεύδων εἰς μ. ἔρχη* Pap. XIV 23 ‖ **148** *γυναικὶ*] *γυναικὸς* ζ, *γυναιξὶ* B | *κόσμος γυναικὸς* U | *κοὐ* DΓ | *γ. κ. οὐ τὰ χρυσία, ἀλλ' ὁ τρόπος* BΣ ‖ **150** *ἐσθλῆς*] *ἀγαθῆς* Stob. | *ἐσθλῇ γυναικὶ ἐντυχεῖν* B ‖ **151** add. Stob. | *κρεῖττον* Stob. ‖ **153** *δαπανηρὰ φύσις* Γ ‖ **155** *σώφρων γυνὴ πηδάλιόν ἐστι τοῦ καλοῦ βίου* K ‖ **156** *ἂν γένοιτ' ἀνατροπή* Γ ‖ **157** *γυναιξὶν ἄρχειν* υ ‖ **161** *γύμναζε παῖδας· ἄνδρας οὐ γὰρ γυμνάσεις* Mk., *γύμναζε δαίμον ἄνδρα γάρ με γυμνάζεις* A, *γύμναζε παῖδα μ', οὐ γὰρ ἄνδρα γυμνάσεις* My.

Γονεῖς δὲ τίμα καὶ φίλους εὐεργέτει.
Γυνὴ δ' ὅλως οὐ συμφέρον βουλεύεται.
Γνώμη γερόντων ἀσφαλεστέρα νέων.
Γελᾷ δ' ὁ μῶρος, κἄν τι μὴ γελοῖον ᾖ.
Γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει.
Γυνὴ ⟨δὲ⟩ κολακεύει σε τοῦ λαβεῖν χάριν.
Γέρων γενόμενος μὴ γάμει νεωτέραν.
Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται.
Γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίγνεται.
Γυναικὶ μὴ πίστευε μηδ' ὅταν θάνῃ.
Γέλως τὰ σεμνὰ τοῦ βίου τοῖς σώφροσιν.
Γνωρίζεται πᾶς ἐκ χιτῶνος τὸν βίον.
Δίκαιος εἶναι μᾶλλον ἢ χρηστὸς θέλε.
Δεῖ τοὺς φιλοῦντας πίστιν, οὐ λόγους ἔχειν.
Δοῦλος πεφυκὼς εὔνοει τῷ δεσπότῃ.
Δύσμορφος εἴην μᾶλλον ἢ καλὸς κακός.
Δίκαιον εὖ πράττοντα μεμνῆσθαι θεοῦ.
Δίκαιος ἴσθι, ἵνα δικαίων δὴ τύχῃς.

162 *χγΓυ* Vat || **163** A Par || **164** *χζγΓ* || **165** *ψγεΓ* || **166** *χ*W*Γ* || **167** *ψε* Par || **168** *χ* || **169** *χΓ* || **170** *χΓ* || **171** U || **172** *υ* || **173** Jos || **174** *χζγΓ* || **175** *χεγΓ* Coll || **176** *χζ* || **177** *χζΓ* || **178** *χΓ* || **179** *χΓ* Vat

162 cf. mon. 113, 322, 352, 525, 526, 674 || **164** cf. mon. 158, 524 || **166** cf. Stob. 4, 29, 10 (Men. II fr. 248) || **168** = Comp. I 236 | cf. Comp. III 51 || **169** = Stob. 3, 36, 17 (Aesch. Prom. 329) || **170** = Apostol. 5, 56e || **171** cf. mon. 142 || **175** cf. mon. 649 || **177** = Stob. 4, 21, 20 (Eurip. fr. 842 TGF[2])

162 *τιμῶν* Vat | *φίλους εὐεργέτει*] *γέροντας αἰσχύνου υ* || **163** *ὅλως οὐ συμφέρον βουλεύεται* Th., *ὅλως τι συμφέρον οὐ βουλεύεται* codd. | *βουλεύεται* Par, *βούλεται* A || **164** *γέροντος ... νέου ζγ* R || **167** add. Mk. | *τοῦ λαβεῖν χάριν ψ* Par, *τοὔνεκα βλάψαι μόνον ε* || **168** *γενόμενος* A et Comp. I 236, *γεγονὼς* F, *ὑπάρχων* BD || **169** *γλώσσης ματαίας Γ* | *προσέρχεται Γ*, *προσγίγνεται* F et Stob. (Mac.), (et Aesch. Prom. 329, cod. Tri.) || **170** *γνώμης*] *γλώσσης χ* | *ἐσθλῆς*] *ἀγαθῆς* F || **173** *τὸν βίον* Th., *τοῦ βίου* Jos || **174** *χρηστὸς*] *δοκεῖν* Nck. (cf. Aesch. Th. 592) || **175** *φιλοῦντας*] *φίλους γε* | *πίστιν*] *τὴν πίστιν ε*, *τὰ πιστὰ γ* | *οὐ*] *μὴ γ* | *λόγοις εγ* || **177** *εἴην*] *ἴσθι χ*(1) *ζ* | *καλὸς κακός*] *κακότροπος* R, *κακὸς λόγοις ζ*, *κακὸς καλός* B(2) || **178** *πράσσοντας* C(1) || **179** *ἴσθ', ἵνα καὶ δικαίων δὴ τύχῃς Γ*

Διπλῶς ὁρῶσιν οἱ μαθόντες γράμματα.
Δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα.
Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.
Δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ.
Διάλυε, μὴ σύγκρουε μαχομένους φίλους.
Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.
Δοὺς τῇ τύχῃ τὸ μικρὸν ἐκλήψῃ μέγα.
Δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς.
Δίκαια δράσας συμμάχους ἕξεις θεούς.
Δεινότερον οὐδὲν ἄλλο μητρυιᾶς κακόν.
Δειλοῦ γὰρ ἀνδρὸς δειλὰ καὶ φρονήματα.
Δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.
Δίωκε δόξαν κἀρετήν, φεῦγε ψόγον.
Δίκαιος ἂν ᾖς, τῷ τρόπῳ χρήσῃ νόμῳ.
Δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας.
Δόλιον ⟨γὰρ⟩ ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον.
Δαίμων ἐμαυτῷ γέγονα γήμας πλουσίαν.

180 *χΓ* || 181 *δΓ* || 182 *ψεΓ* || 183 *χζγΓ* || 184 *Λε* || 185 *χUΓ* || 186 *ψΓ* || 187 *ψΓ* || 188 *χΓ* || 189 *χWΓ* || 190 *χγ* || 191 Λ || 192 *χε* || 193 *ε* || 194 *χγυ* Par || 195 *ψγΓ* || 196 *χΓ*

180 cf. mon. 586 || 181 cf. mon. 612 || 182 = Stob. 4, 31, 5 (Men. II fr. 19) | cf. Stob. 3, 9, 19 (Men. II fr. 398); Stob. 2, 7, 13 (Men. II fr. 790, 3) || 185 = Apostol. VI 36 || 186 cf. mon. 245 || 187 = Stob. 4, 34, 37 (Eurip. fr. 208 TGF²) || 188 cf. flor. *ἄριστον* Nr. 34 || 190 = Pap. XIII 12 || 191 = Stob. 4, 22, 109 (Eurip. fr. 804, 3 TGF²) = Aristoph. Thesm. 413 || 192 = Pap. IV 21 || 193 = Stob. 3, 9, 6 (Men. II fr. 495) | cf. mon. 205 || 194 = Eurip. Iph. Taur. 1032 ~ Stob. 4, 22, 185 || 195 cf. Vit. p. 101, 38

180 *διπλοῦν Γ ξ* || 183 *ταὐτὸν*] *ταὐτὸ χ*, *τὰ αὐτὰ λ*, *σαυτὸν* P || 186 *ἐκλείψει* B || 188 *συμμάχους ἕξεις θεούς* Mk. *συμμάχου τεύξῃ θεοῦ Γ*, *σύμμαχον ἕξεις θεὸν* cett. || 189 *δεινὸν γὰρ οὐδὲν ἄλλο χ* | *κακόν*] *πλέον ν* || 190 *δειλοῦ γὰρ ἀνδρὸς* Pap. XIII 12 et Mk., *δειλῶν γὰρ ἀνδρῶν* codd. | *καὶ*] *τὰ γ* D || 191 *γέροντι* Stob. et Aristoph. Thesm. 413, *γαμοῦντι* codd. || 192 *κἀρετὴν ν*, *καὶ ἀρετὴν* cett. | *φεῦγε δὲ ε*, *φεύγων* D || 193 *ἂν* Stob. (SMA), *ἐὰν ε* || 194 *γὰρ*] *μὲν* Stob. || 195 add. Mk. || 196 *δαίμων ἐμαυτῷ γέγονα γήμας πλουσίαν* Mk., *δαίμων ἑαυτῷ* (*σεαυτῷ* Erbse) *πλουσίαν γήμας ἔσῃ Γ* |]*γέγονα γη*[*χ*

Δούλου γὰρ οὐδὲν χεῖρον οὐδὲ τοῦ καλοῦ.
Δίδου πένησιν ὡς λάβῃς θεὸν δότην.
Δίκαιον ὀρθῶς καὶ δικαίως †δικάσῃ.
†Δήμους σοφῶν ὅδευε† καὶ χάριν τύχης.
Διὰ τῆς σιωπῆς πικρότερον κατηγόρει.
Δυσπαρακολούθητόν τι πρᾶγμ' ἐστὶν τύχη.
Διὰ τὰς γυναῖκας πάντα τὰ κακὰ γίγνεται.
Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν †προσκροῦσαι λίθον.
Δίκαιος ἐὰν ᾖς, πανταχοῦ †λαληθήσῃ.
Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος.
Δοῦλος †γεγονὼς ἑτέρῳ δουλεύειν φοβοῦ.
Δίκαιος ἴσθι καὶ φίλοισι καὶ ξένοις.
Διὰ πενίαν ⟨σὺ⟩ μηδενὸς καταφρόνει.
Ἔπαινον ἕξεις, ἂν κρατῇς ὧν δεῖ κρατεῖν.
Ἔρως δίκαιος καρπὸν εὐθέως φέρει.
Ἐσθλῷ γὰρ ἀνδρὶ †ἐσθλὰ καὶ διδοῖ θεός.
Ἔλπιζε τιμῶν τοὺς θεοὺς πράξειν καλῶς.
Ἐν ταῖς ἀνάγκαις χρημάτων κρείττων φίλος.

197 *χ* ***Γ*** **W** || **198—200 H** || **201** ***Γ*** || **202** ***Γ*** || **203** ***εv*** || **204 U** || **205** ***δ*** || **206—207** ***ε*** || **208—209** ***v*** || **210** ***χδ*** || **211** ***χδγ*** || **212** ***χζΓ*** **Coll** || **213** ***χ*** **K*Γ*** || **214** ***χε*** **Ven Vat**

197 cf. Palladas, Anthol. Graeca 11, 286, ubi mon. 197 cum 609 coniunctum est || 202 = Stob. 2, 1, 6 (Men. II fr. 424) || 203 cf. mon. 622, 837 || 204 cf. Zenobius 3, 29 || 205 cf. mon. 193; Pap. XIII 10 || 207 cf. Comp. I 108 (Comp. II 115) || 208 cf. mon. 373 || 210 = Pap. IV 20 || 212 cf. append. 2, 14 || 213 = Chares I 5

197 *γὰρ οὐδὲν χεῖρον* Th., *δ' οὐδὲν χεῖρον* W, *γὰρ χεῖρον οὐδὲν* cett., *δὲ χεῖρον οὐδὲν* Palladas || 198—200 non nisi in **H** traduntur || 199 *ὀρθῶς δίκαζε καὶ δικασθήσῃ καλῶς* Erbse || 201 *κατηγορεῖ* Br. || 202 *τι* Stob., *δὲ* codd. || 204 *ἐγκροῦσαι* My. | *αἰσχρὸν προσκρούειν* Zen. 3, 29 | *αἰσχρὰ* Mk. || 205 *ᾖς*] *εἰ* K | *λαληθήσῃ*] *λάλημ' ἔσῃ* Erbse || 206 *δίκαιος . . . τρόπος* Stob., *δίκαιος τρόπος ἀδικεῖν οὐ δυνήσεται* codd. || 207 *ἑτέρῳ*] *ἄλλῳ δ* | *δοῦλος γενόμενος μισθοφορεῖν ἑτέρῳ φοβοῦ* Erbse || 208 *φίλοις τε καὶ* Taur || 209 add. Erbse || 210 *ὧν* Pap. IV 20 et Mk., *ὡς* codd. || 211 *δικαίῳ καρπὸν εὔθεος* D, *δικαίων καρπὸν εὐθέα* B || 212 *καὶ θεὸς νεμεῖ* U | *καὶ διδάγματα* B || 213 *τοὺς θεοὺς* Chares I 5, *τοὺς γονεῖς* *χ*(2)***Γ***, *τὸν θεὸν* cett. | *πράσσειν* *χ*(1) || 214 *ἐν τοῖς δὲ δεινοῖς* ***Γ***

Ἐλεύθερον φύλαττε τὸν σαυτοῦ τρόπον.
Ἐπ' ἀνδρὶ δυστυχοῦντι μὴ πλάσῃς κακόν.
Εὐχῆς δικαίας οὐκ ἀνήκοος θεός.
Ἐκ τῶν γυναικῶν ὄλλυται κόσμος μέγας.
Ἐν τοῖς κακοῖς δὲ τοὺς φίλους εὐεργέτει.
Ἔργων πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε.
Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς.
Ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται.
Ἔνεγκ' ἀτυχίαν καὶ βλάβην εὐσχημόνως.
Ἐχθροὺς ἀμύνου μὴ 'πὶ τῇ σαυτοῦ βλάβῃ.
Ἔστιν Δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ' ὁρᾷ.
Εὔτολμος εἶναι κρῖνε, τολμηρὸς δὲ μή.
Ἐφόδιον εἰς τὸ γῆρας αἰεὶ κατατίθου.
Ἔρωτα παύει λιμὸς ἢ χαλκοῦ σπάνις.
Εὔτακτον εἶναι τἀλλότρια δειπνοῦντα δεῖ.
Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν.
Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶσι δ' οὔ.

215 *χζΓ* ‖ **216** *χζΓ* ‖ **217** *χεΓ* ‖ **218** *χζΓ* **Par** ‖ **219** *χζΓ* ‖ **220** *χΓ* ‖ **221** *ψε* ‖ **222** *χΓ* ‖ **223** *χΓ* ‖ **224** **Α***Γ* ‖ **225** *ζτ* **W** ‖ **226** *χγΓ* ‖ **227** *ζ* **Α***Γ* ‖ **228** *χγ* **Ven** ‖ **229** **Α***Γ* ‖ **230** **Α***Γε* ‖ **231** *χ*

215 cf. Comp. I 111; mon. 711 ‖ **217** cf. Stob. 3, 3, 13 (Aesch. fr. 601 Mette) ‖ **219** cf. Eurip. Orest. 666 ‖ **220** = Chares I 10 ‖ **221** = Stob. 3, 29, 9 = Stob. 3, 29, 22 (Eurip. fr. 364 TGF²) ‖ **223** = Stob. 4, 44, 23 (Men. II fr. 634, 1) | cf. Stob. 4, 44, 22a, 2 ‖ **224** cf. Publ. A 54 'amicis ita prodesto, ne noceas tibi' ‖ **225** = Philem. fr. 246, 5 Kock = Comp. I 126 | cf. Comp. IV 41—42; mon. 605, 688 ‖ **227** cf. Plut. de libr. educ. 11, 8 C ‖ **231** ~ Eurip. fr. 895 TGF² | cf. mon. 263

215 *τρόπον*] *βίον* **U** ‖ **216** *πλάσῃς*] *δράσῃς* **U**, *πράξῃς* **B** | *κακά* **D** ‖ **217** *εὐχῆς*] *ψυχῆς* *Γ* | *ὁ θεός* *δ* ‖ **218** *μέγας*] *ἅπας* **Par**, *σύμπας* **Bav** ‖ **219** *τοὺς φίλους*] *τὸν φίλον* *χ* | *δὲ τοὺς φ. εὐεργέτει*] *δεῖ τὸν φ. εὐεργετεῖν* **F** | in **R** sequitur *εὐεργέτει μὲν ἀλλὰ μὴ κατηγόρει* | *κακοῖσι τοὺς* **Mk.** ‖ **221** *τοι* Stob., *γὰρ* *Σ* et Orio, om. cett. | *τἀγάθ'* Stob., *τὰ καλὰ* codd. ‖ **222** *τοῖς σοφοῖς γὰρ βουλὴ* **D** | *τοῖς σοφοῖς συμβουλὴ* **B** ‖ **223** *ἔνεγκ' ἀτυχίαν* Stob., *ἔνεγκε λύπην* codd. | *εὐσχημόνως* Stob., *ἐρρωμένως* codd. ‖ **225** *πάντ' ἀεὶ ὁρᾷ* *δ* | *ὁρᾷ*] *βλέπει* **U** ‖ **226** *εἶναι*] *ἔσο* *γ* | *κρῖνε*] *κρίνων* *γ*, *κρίνειν* **F**, *κρῖναι* **B** ‖ **227** *νέος ὢν ἐφόδιον εἰς γῆρας κατατίθου* *ζ* ‖ **228** *χαλκοῦ*] *χρυσοῦ* *ο* ‖ **231** *τοι*] *γὰρ* *ξ* | *ἐν πλ. Κ. γάρ, ἀλλ' οὐκ ἐν λιμῷ* **F** | *πεινῶντι* Eurip. fr. 895

Ἔνεισι καὶ γυναιξὶ σώφρονες τρόποι.
Ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔξεστ' ἰδεῖν.
Ἐλευθέρου γάρ ἐστι τἀληθῆ λέγειν.
Ἔστιν τι κἀν κακοῖσιν ἡδονῆς μέτρον.
Ἔνιοι κακῶς φρονοῦσι πράττοντες καλῶς.
Ἐχθροῖς ἀπιστῶν οὔποτ' ἂν πάθοις βλάβην.
Ἐὰν δ' ἔχωμεν χρήμαθ', ἕξομεν φίλους.
Ἐχθροῦ παρ' ἀνδρὸς οὐδέν ἐστι χρήσιμον.
Εὐκαταφρόνητός ἐστι σιγηρὸς τρόπος.
Εἷς ἐστι δοῦλος οἰκίας ὁ δεσπότης.
Ἐμπειρία γὰρ τῆς ἀπειρίας κρατεῖ.
Ἐπιλανθάνονται πάντες οἱ παθόντες εὖ,
ἔνιοι δὲ καὶ μισοῦσι τοὺς εὐεργέτας.
Εἰ μὴ φυλάσσεις μίκρ', ἀπολεῖς τὰ μείζονα.
Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει.
Εὔχου δ' ἔχειν τι, κἂν ἔχῃς, ἕξεις φίλους.
Ἔστι⟨ν⟩ τὸ τολμᾶν, ὦ φίλ', ἀνδρὸς οὐ σοφοῦ.
†Εὔπειστον ἀνὴρ δυστυχὴς καὶ λυπούμενος.†

232 ε A ‖ 233 χΓ Par ‖ 234 χεΓ ‖ 235 W ‖ 236 AΓ ‖ 237 χγΓ ‖ 238 AΓ ‖ 239 χ ‖ 240 χεWΓ ‖ 241 χΓ ‖ 242 χΓ ‖ 243 εAΓ ‖ 244 A ‖ 245 ψΓ ‖ 246 χυΓ ‖ 247 γAΓ ‖ 248 AΓ ‖ 249 BW

234 cf. Stob. 3, 11, 11 (Men. II fr. 421) ‖ 236 cf. mon. 628, 681 ‖ 237 = adesp. fr. 310 TGF² | cf. Comp. I 179—180 ‖ 238 cf. mon. 247 ‖ 239 cf. mon. 451 ‖ 240 cf. Stob. 4, 32, 24 (Men. I Georg. 129); Comp. I 135 ‖ 241 = Men. II fr. 716 ‖ 242 ~ Stob. 4, 50, 17 (Eurip. fr. 619 TGF²) ‖ 245 cf. mon. 186 ‖ 246 = Stob. 3, 21, 4 (Antiph. fr. 289 Kock) = Men. II fr. 945 | cf. mon. 1, 336, 350, 606; Soph. fr. 531 TGF²; Aesch. Pers. 820 ‖ 247 cf. mon. 238 ‖ 249 cf. Stob. 4, 40, 5 (Men. II fr. 322)

232 ἔνεισι ἐν γυναιξὶ ξ, εἰσὶ καὶ ἐν γ. A, ἔνεισι καὶ γ. Mk. ‖ 233 γυναικὶ F | ἔξεστ' Schm., ἔνεστ' Γ, ἔστιν cett. ‖ 234 ἐστι δ' ἀνδρὸς cett. ‖ 235 ἔστιν τι . . . μέτρον Jk., ἔστι κἀν κ. ἡ. τι μ. codd., ἔνεστι κἀν κ. ἡ. μ. Mk., ἔστιν τι κἀν κ. ἡ. μέρος Nck. ‖ 237 ἀπειθῶν F | πάθοις] λάβῃς γ ‖ 239 παρ'] γὰρ H | οὐδέν ἐστι χρήσιμον] μὴ δέχου συμβουλίαν o ‖ 240 εὐκαταφρόνητόν ΓW, εὐκατάγνωστός H. δυσκατανόητός Th., ἔστ' ἀκαταφρόνητός D ‖ 242 γὰρ] τε Stob. (SMA) ‖ 243 cum 244 coniunxit Bothius ‖ 245 ὀλεῖς B ‖ 246 ὄντας δὲ θνητοὺς καὶ θνητὰ φρονεῖν χρεών H ‖ 247 δ' Γ om. cett. ‖ 248 add. Mk. ‖ 249 εὔπειστον] ἄπιστος B | ἀτυχὴς B | εὔπιστον ἀτυχὴς ἐστ' ἀνὴρ λυπούμενος Mk., εὔπειστόν ἐσθ' ὁ δυστυχὴς λυπούμενος Erbse

Ἐξ ἡδονῆς γὰρ φύεται τὸ δυστυχεῖν.
Ἐλεεινότατόν μοι φαίνετ' ἀτυχία φίλου.
Ἐν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις.
Εὐνοῦχος ἄλλο θηρίον τῶν ἐν βίῳ.
Ἔλπιζε πάντα μέχρι γήρως θνητὸς ὤν.
Εἰς τὰς μεταβολὰς δεῖ σε τῆς τύχης σκοπεῖν.
Ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον.
Εὑρεῖν τὸ δίκαιον πανταχῶς οὐ ῥᾴδιον.
Ἐνίοις τὸ σιγᾶν κρεῖττόν ἐστι τοῦ λαλεῖν.
Ἐν παντὶ δεῖ τρόπῳ τὸν ἄνδρα ⟨γ'⟩ εὖ φρονεῖν.
Ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον.
Εἰσί⟨ν⟩ καταφυγὴ πᾶσιν οἱ χρηστοὶ φίλοι.
Ἔχει τὸ πικρὸν τῆς γεωργίας γλυκύ.
Ἐν πλησμονῇ μέγιστον ἡ Κύπρις κράτος.
Εἰκὼν δὲ βασιλεύς ἐστιν ἔμψυχος θεοῦ.
Ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις.
Ἔλεγχε σαυτὸν ὅστις εἶ πράττων κακῶς.
Ἐν ἀργύρῳ μάλιστα κρίνεται τρόπος.
†Ἔχε δὲ μᾶλλον συνεσταλμένην γλῶσσαν. †

250 BW*Γ* ‖ 251 *ε*B ‖ 252 *χ*W*Γ* ‖ 253 *γ* ‖ 254 *δΓ* ‖ 255 *δ* ‖ 256 *εΓ* ‖ 257 *ε* ‖ 258 *εΓ* ‖ 259 *δ* ‖ 260 *δ* ‖ 261 *δ* ‖ 262—263 U ‖ 264 W*Γ* ‖ 265 *Γ* ‖ 266 *υ* ‖ 267 *υ* ‖ 268 Ven

252 ~ Stob. 3, 29, 44 (Eurip. fr. 236 TGF²) ‖ 254 cf. mon. 51; append. 1, 12 ‖ 255 cf. mon. 395 ‖ 258 = Pap. XIII 14—15 | cf. mon. 292, 306, 409, 521, 555, 710 ‖ 260 = Stob. 4, 50, 87 (adesp. fr. 552 TGF²) ‖ 262 ~ Stob. 4, 15, 20 (Men. II fr. 558) | cf. mon. 620 ‖ 263 cf. mon. 231 ‖ 264 cf. Pap. II 3 ‖ 265 = Eurip. Hippol. 95 ‖ 266 cf. Stob. 3, 14, 4 ‖ 267 cf. Kt., Hermes 77, 1942, 226

251 *φαίνετ'* Mk., *φαίνεται* codd. ‖ 252 *ἐν*] *σὺν* Stob. | *ἐν μυρίοις τὰ σῖτα καλὰ γηπόνοις* W ‖ 253 *τῶν ἐν*] *ἐν τῷ λ* ‖ 255 *δεῖ . . . σκοπεῖν* My., *δὲ τῆς τύχης σκόπει* codd. ‖ 256 *φιλοπόνοις* P ‖ 257 *τὸ*] *τὸν* K | *πανταχῶς* Mk., *πανταχοῦ* codd. ‖ 258 *ἐνίοις*] *νέοις ε*(2), erat *νέοις* Erbse | *λέγειν* U*Γ* | in *Γ* et *δ* 258 cum 240 coniunctum est ‖ 259 add. Schm. | *ἐν παντὶ δεῖ τρόπῳ* Boiss., *ἐν παντὶ τρόπῳ δεῖ* codd. | *ἄνδρα σωφρονεῖν* Sn. ‖ 261 add. Boiss. ‖ 262 *ἔχει τι τὸ π.* Stob. ‖ 263 *κράτος*] *κρατεῖ* Sn. ‖ 264 *βασιλεία δ' ἔστιν εἰκὼν ἔμψυχος θεοῦ* W ‖ 266 *κακῶς*] *κακά* Taur ‖ 268 *ἔχοις μάλιστα γλῶσσαν ἐγκεκλημένην* Erbse

Ζήσεις βίον κράτιστον, ἢν θυμοῦ κρατῇς.
Ζήτει σεαυτῷ καταλιπεῖν εὐδοξίαν.
Ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων.
Ζῶμεν πρὸς αὐτὴν τὴν τύχην οἱ σώφρονες.
Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα.
Ζῆθι προσεχόντως ὡς μακρὰν ἐγγὺς βλέπων.
Ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα.
Ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος.
Ζῆν βουλόμενος μὴ πρᾶττε θανάτου γ' ἄξια.
Ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.
Ζῆν ἡδέως οὐκ ἔστιν ἀργὸν καὶ κακόν.
Ζῆν αἰσχρόν, οἷς ζῆν ἐφθόνησεν ἡ τύχη.
Ζήτει ⟨δὲ⟩ συνάγειν ἐκ δικαίων τὸν βίον.
Ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος.
Ζῆν οὐκ ἔδει γυναῖκα κατὰ πολλοὺς τρόπους.
Ζῶμεν ἀλογίστως προσδοκοῦντες μὴ θανεῖν.
Ζῆσον μετρήσας τὸν βίον πρὸς τὸν χρόνον.
Ἢ ζῆν ἀλύπως, ἢ θανεῖν εὐδαιμόνως.

269 *χζγυΓ* || **270** *χδΓ* || **271** *χδΓ* Par || **272** *χ* || **273** *εΑΓ* Jos || **274** A || **275** *χΓ* || **276** *χγυΓ* || **277** *ψεΓ* || **278** *χγΓ* || **279** W || **280** *ΒΓ* || **281** *χΓ* Vat || **282** *χΓγ* || **283** *ΑWΓΡ* Par || **284** *ευ* || **285** *υ* || **286** *χζΓ*

269 = Pap. II 6 || **273** = Men. II fr. 45 | cf. mon. 104, 329 || **274** cf. Pap. IV 19 || **276** = Aesch. fr. 679 Mette ~Stob. 4, 53, 17 ~ Pap. XIV 14 | cf. Comp. I 62; Stob. 4, 53, 15 (Aesch. fr. 316 Mette); mon. 415, 772; Comp. I 39—40; Eurip. Troiad. 637 et Iph. Aul. 1252 || **277** = Pap. XIII 15—16 || **278** = adesp. fr. 311 TGF² || **280** cf. mon. 855 || **282** = Stob. 4, 22, 13 (Hippothoon fr. 3 TGF²) || **283** cf. mon. 548 || **286** cf. Eurip. Troiad. 636

269 *κράτιστον*] *κάλλιστον υ, ἄριστον χλ* | *ἢν* S Pap. II 6, *εἰ ζ, ἂν* cett. || **270** *ζητεῖς ἑαυτῷ* H | *καταλιπεῖν* Mk., *καλλειπεῖν δ, καλλίστην* cett. | *ζήτει σεαυτῷ δόξαν ἐγκαταλιπεῖν Γ* || **271** *γυναῖκα*] *σεαυτῷ χ*(2) *δ* || **273** *δυνάμεθα*] *ἀγόμεθα ξ* || **276** *ζωῆς πονηρᾶς*] *βίος αἰσχύνης* Pap. XIV 14 | *θάνατος*] *μέρος* Taur | *εὐπορώτερος* Stob. || **278** *πάντα*] *ἀνδρὸς γ* | *δρόμον λ* || **281** add. Jk. | *συνάγειν ΒΓ, συνάγων* cett. || **282** *οὐκέτ' ἔστ'* Jk., *οὐκ ἔστιν γ, οὐκέτ' ἧς* C(2), *οὐκ ἔσῃ* B, *οὐκέθ' εἷς* Erbse | *οὐκ ἐλεύθερος γ' ἔσῃ Γ* || **284** *προσδοκοῦντες μὴ* Mk., *μὴ προσδοκοῦντες* codd. || **285** *χρόνον*] *τρόπον* Coll || **286** *εὐγνωμόνως* U

Ἤθη πονηρὰ τὴν φύσιν διαστρέφει.
Ἦθος πονηρὸν φεῦγε καὶ κέρδος κακόν.
Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.
Ἥδιστόν ἐστιν τῶν ὑπαρχόντων κρατεῖν.
Ἥδιστόν ἐστιν εὐτυχοῦντα νοῦν ἔχειν.
Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε.
Ἥξει τὸ γῆρας πᾶσαν αἰτίαν φέρον.
Ἡ γλῶσσ' ἁμαρτάνουσα τἀληθῆ λέγει.
Ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶν πατρίς.
Ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
Ἡ δ' ἁρπαγὴ μέγιστον ἀνθρώποις κακόν.
Ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ.
Ἤθους δικαίου φαῦλος οὐ ψαύει λόγος.
Ἢ μὴ γάμει τὸ σύνολον ἢ γαμῶν κράτει.
Ἡ πατρίς, ὡς ἔοικε, φίλτατον βροτοῖς.
Ἡ δὲ παράκαιρος ἡδονὴ τίκτει βλάβην.
Ἡδύ γε δικαίους ἄνδρας εὐτυχεῖν ὁρᾶν.
Ἤθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος.

287 *χζ* W *Γ* ‖ 288 *χγΓ* ‖ 289 *εχΓ* Ven Coll ‖ 290 *ψΓ* ‖ 291 *ε χΓ* Vat ‖ 292 *χυΓ* ‖ 293 *χΓ* Ven ‖ 294 *οεΓ* ‖ 295 *ψΓ* ‖ 296 *εχΓ* ‖ 297 *χ* ‖ 298 *χΓ* ‖ 299 *χγΓ* ‖ 300 *ε* A Par ‖ 301 *χ* ‖ 302 *ψ* W *Γ* ‖ 303 A ‖ 304 *χΓ*

287 = Pap. XIII 16 ‖ 288 = Pap. II 7 ‖ 289 cf. mon. 305 ‖ 291 cf. mon. 465; Comp. I 56 ‖ 292 = Stob. 3, 34, 1 (PSI IX, 1093 et Dionys. fr. 6 TGF²) | cf. Stob. 3, 34, 7: flor. *ἄριστον* Nr. 59; mon. 258, 306, 409, 521, 555, 710 ‖ 295 = Stob. 4, 29. 35 (Eurip. fr. 1113 TGF²) ‖ 296 cf. mon. 154 ‖ 297 cf. mon. 317, 386. 446. 794, 795 ‖ 298 cf. Pap. XIII 13 ‖ 301 = Stob. 3, 39. 3 (Eurip. Phoen. 406) ‖ 304 ~ Pap. XIII 13–14 | cf. Stob. 4, 31, 15 (5) (Antiph. fr. 232, 5 Kock)

287 *πονηρὰν* Mtt. | *διαστρέφει*] *ἀνατρέπει* W ‖ 289 *ἤγαγεν* B*Γ*, *ἐμβάλει ν* Ven, *ἐμβαλεῖν* A, *ἔβαλεν ε*. *εἰσάγει* R ‖ 290 *κρατεῖν*] *ἐρᾶν* A *Σ* ‖ 291 *ἐστιν*] *οὐδὲν* F ‖ 292 *ἢ λέγε*] *λάλει* D | *τι*] *τῆς* A, *τίς* D | *σιγῆς κρεῖττον ἢ*] *σεμνὸν εἰ δὲ μὴ σ* ‖ 295 *τοῦ*] *γὰρ Γ* | *ἑκάστῳ* A Stob., *ἑκάστου* cett. ‖ 296 *ἤθη ε* | *δεῖ*] *χρή ε* ‖ 298 *ἁπάντων*] *ἀπ' αὐτῶν* B*Γ* ‖ 302 *δὲ*] *γὰρ παρὰ καιρὸν* Wo ‖ 304 *ἤθους*] *ἔθους* Pap. XIII 13 | *ἀνθρώπων* F

Ἡ γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν.
Ἢ δεῖ σιωπᾶν ἢ λέγειν ἀμείνονα.
Ἡ γὰρ σιωπὴ τοῖς σοφοῖσιν ἀπόκρισις.
Ἡ γὰρ σιωπὴ μαρτυρεῖ τὸ μὴ θέλειν.
Ἡ μωρία δίδωσιν ἀνθρώποις κακά.
Ἤθη μετέρχου τὰ προσήκοντα ξένοις.
Ἡ κοιλία καὶ πολλὰ χωρεῖ κὠλίγα.
Ἡ δοῦσα πάντα καὶ κομίζεται φύσις.
†Ἡ πενία δ' ἀγνώμονάς γε τοὺς πολλοὺς ποιεῖ.†
Ἡδύ γε πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων.
Ἡ δὲ μετάνοια γίγνετ' ἀνθρώποις κρίσις.
Ἢ μὴ ποίει τὸ κρυπτὸν ἢ μόνος ποίει.
Ἡ δ' ἀργία πέφυκεν ἀνθρώποις κακόν.
Ἡ γλῶσσά σου χαλινὸν †ἐχέτω ἢ εὐκόπως λάλει·
Ἦθος κακοῦργον † μακρὰν οἰκίζει θεοῦ.

305 *χ v Γ* || **306** *χ γ Γ* || **307** *χ ε γ Γ* || **308** *χ* || **309** *χ* **W** || **310 R** || **311** *ε* **B***Γ* || **312 B***Γ* || **313** *ε* **B***Γ* || **314 B***Γ* || **315 BK***Γ* || **316** *ε* **B W***Γ* || **317** *δ* || **318** *δ* **Coll** || **319** *v*

305 = Comp. I 128 | cf. mon. 289, 631; Stob. 4, 35, 1 (Philem. fr. 106 Kock) || **306** cf. Comp. I 129; mon. 258, 292, 409 (Comp. I 191), 521, 710; Aesch. fr. 351 Mette || **307** ~ Eurip. fr. 977 TGF² || **308** cf. Publ. S 12 'sapiens cum petitur si tacet graviter negat' || **312** cf. mon. 145; Eurip. fr. 195 TGF²; Comp. I 113; Vit. p. 102, 8—9 || **314** = Men. II fr. 606 ~ Stob. 4, 26, 10 || **316** = Comp. I 43 || **317** cf. mon. 297, 386, 446, 794, 795 || **318** cf. append. 1, 53

305 *πολλῶν*] *πολλοῖς* **Π**(2) *v* | *πολλῶν ἐστιν*] *πολλοῖς γίγνεται* Comp. I 128 | *πολλοῖς κακῶν ἡ γλῶσσα γίγνετ' αἰτία* **ΠB** || **306** *ἡδὺ σιωπᾶν ἢ λαλεῖν ἃ μὴ πρέπει χ*, *οὐ δεῖ σιωπᾶν καὶ λαλεῖν ὅπου χρεών Γ* | *ἢ λέγειν ἀμείνονα* **B** | in *Γ* sequitur *κρεῖττον σιωπᾶν καὶ λαλεῖν ἃ μὴ πρέπει* (cf. mon. 409) || **307** *τοῖς σοφοῖσιν ἀπόκρισις* Nek., *τοῖς σοφοῖς ἐστ' ἀπόκρισις* Eurip. fr. 977, *τοῖς πολλοῖς ἀπόκρισις ε*, *τοῖς σοφοῖς ἀπόκρισις* cett. | *ἔστ' ἀπόκρισις Γ*(1) | *πολλοῖς ἀπόκρισις ἡ σιωπὴ τυγχάνει Γ*(2) || **309** *κακόν* **D** || **311** *χωρεῖ, ὀλίγα δὲ συμφέρει ε* || **312** *τίκτουσ' ἅπαντα* My. || **314** *ἡδὺς πατὴρ* Stob. | *πατὴρ . . . ἔχων*] *παντὶ . . . ἔχειν* **B** || **315** *δὲ Γ*, om. cett. || **316** *κρυπτὸν*] *κρεῖσσον* **W** || **317** *ἡ ἀργία γὰρ* **P**, *ἡ γυνὴ δὲ πέφυκεν* **K**, *ἡ γὰρ γυνὴ πέφυκεν* Jk. ex **K** || **318** *χαλινὸν ἐχέτω γλῶσσα μὴ εὐκόπως λάλει* Boiss., *ἡ γλῶσσά σου χαλινὸν εὐκόπως ἄγει* (vel *φέρει*) Erbse || **319** *κακοῦργον*] *πανοῦργον v* cf. et Pap. IX 2, 3 | *ἦθος πανοῦργον τῶν θεῶν οἰκεῖ μακράν* Th.

Ἤθη τὰ πάντων ἐν χρόνῳ πειράζεται.
Θεὸν σέβου καὶ πάντα πράξεις εὐθέως.
Θεὸν προτίμα, δεύτερον δὲ τοὺς γονεῖς.
Θάλασσα καὶ πῦρ καὶ γυνὴ τρίτον κακόν.
Θέλων καλῶς ζῆν μὴ τὰ τῶν φαύλων φρόνει.
Θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή.
Θυμὸν πονηρὸν ἐκφυλάσσου παντελῶς.
Θεὸς πέφυκεν, ὅστις οὐδὲν δρᾷ κακόν.
Θησαυρός ἐστι τοῦ βίου τὰ πράγματα.
Θέλομεν καλῶς ζῆν πάντες, ἀλλ' οὐ δυνάμεθα.
Θεὸς συνεργὸς πάντα ποιεῖ ῥᾳδίως.
Θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς.
Θορύβους ὀχλώδεις φεῦγε καὶ παροινίας.
Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον.
Θεοῦ πέφυκε δῶρον εὐγνώμων τρόπος.
Θεὸς δὲ τοῖς ἀργοῖσιν οὐ παρίσταται.

320 *υ* || **321** *χδΓ* || **322** *εψ* || **323** *γχζυΓ* **Par Ven** || **324** *χ* **U Vat** || **325** *εχΓ* **Par** || **326 R** || **327** *ψζ* || **328** *χ* || **329** *εψΓ* || **330** *χ***W***Γ* || **331** *χγΓ* || **332** *ψδγ* || **333** *χ* || **334** *χ***W** || **335** *ε***A**

321 cf. Comp. II 77—78 || **322** = Pap. XIII 17 | cf. mon. 113, 133, 162, 352, 525, 674; Ps. Phocyl. 8 Diehl-Young || **323** = Pap. II 8 | cf. mon. 371, 374, 380 || **324** = Pap. X 4—5 || **325** cf. Comp. III 3—4 || **326** cf. mon. 801 || **328** cf. mon. 4, 325 || **329** cf. mon. 104, 273 || **330** cf. Stob. 4, 46, 1 || **331** ~ Stob. 4, 25, 33 (Dicaeog. fr. 5 TGF²) | cf. mon. 525, 526 || **332** = Pap. IV, 17 || **333** = Diog. Sinop. fr. 2 TGF² || **334** cf. mon. 351 || **335** ~ Stob. 3, 30, 6a (adesp. fr. 527 TGF²) | cf. mon. 663

320 *πάντων*] *πάντα* **Taur** | *πειράζεται*] *γνωρίζεται* **Taur** || **321** *σέβου καὶ πάντα*] *τιμῶν ἅπαντα* **O** | *εὐθέως*] *ἐνθέως* **B**, *κατὰ τρόπον δ* || **322** *δὲ* Pap. XIII 17, om. cett. || **323** *καὶ γυνὴ τρίτον κακόν* *εχ* et Pap. II 8, *καὶ τρίτον γυνὴ κακόν* **W**, *κακὰ τρία* **Γ**, *κακὸν τρίτον* cett. || **324** *κακῶς* **F** | *μὴ τὰ*] *μετὰ* **F** | *φρόνει*] *πράσσε* **F** | *μὴ ποίει τὰ τῶν ἄλλων* **B** || **326** *θυμὸν πονηρὸν ἐκφυλάσσου παντελῶς* Th., *θυμὸν πονηρὸν ἐκφυ . .* **R**, *. . γεῖν οὐ ῥάδιον* add. My. || **327** *θεὸς γάρ ἐστιν, ὅστις οὐ δράσει κακόν* **R** || **328** *πράγματα* **A**, *γράμματα ν* || **330** *συνεργῶν* **BFΓ** | *θεοῦ συνεργοῦ* **WΣ** | *ποιεῖς* **Σ** || **331** *θεὸς μέγιστος* Stob. || **332** *θόρυβον ὄχλου φεῦγε καὶ παροινίαν γ* || **333** *φρενὸς* **A** || **335** *δὲ*] *γὰρ* Stob. (A) | *δὲ τοῖς ἀργοῖσιν* **A**, *δὲ τοῖς ἀργοῦσιν* Stob., *δ' ἁμαρτάνουσιν* cett.

Θνητὸς πεφυκὼς μὴ φρόνει ⟨γ'⟩ ὑπέρθεα.
Θεράπευε τὸν δυνάμενον αἰεί σ' ὠφελεῖν.
Θεῶν ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν.
Θυμῷ χαρίζου μηδὲν ἅνπερ νοῦν ἔχῃς.
Θυσία μεγίστη τῷ θεῷ τό ⟨γ'⟩ εὐσεβεῖν.
Θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.
Θηρῶν ἁπάντων ἀγριωτέρα γυνή.
Θνητὸς πεφυκὼς τοὐπίσω πειρῶ βλέπειν.
Θεοῦ γὰρ οὐδεὶς χωρὶς εὐτυχεῖ βροτῶν.
Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.
Θνητὸς πεφυκὼς μὴ γέλα τεθνηκότα.
Θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι.
Θυμοῦ κρατῆσαι κἀπιθυμίας καλόν.
Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.
Θνητὸς γεγώς, ἄνθρωπε, μὴ φρόνει μέγα.
Θεοῦ τὸ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς.
Θεὸν μὲν ἡγοῦ, δεύτερον δὲ τὴν τύχην.

336 ψΓ ‖ **337** γΑ ‖ **338** γΓ ‖ **339** χ ‖ **340** Α ‖ **341** χΓ ‖ **342** χευγΓ ‖ **343** εχΓ ‖ **344** χδγ ‖ **345** χΓ ‖ **346** ΒΓ ‖ **347** ε ΒΓ ‖ **348** υεΒΓ ‖ **349** ΒΓ ‖ **350** δ ‖ **351** Κ ‖ **352** ζ

336 cf. Stob. 3, 22, 16 (Demonax, fr. 1 TGF²); mon. 1, 246, 350, 581, 606 ‖ 338 = Apostol. 8, 89d (adesp. fr. 313 TGF²) ‖ 339 cf. mon. 348, 355; append. 12, 13 ‖ 340 cf. mon. 508 ‖ 341 = Apostol. 8, 89b (adesp. fr. 312 TGF²) ‖ 343 = Isidorus fr. 2 TGF² ~ Stob. 3, 22, 27 ‖ 344 = Stob. 1, 1, 17 (Eurip. fr. 617a TGF²) = Pap. XVIII Col. 1, 12 ~ Anthol. Graeca 10, 107 ‖ 345 = Soph. fr. 876 TGF² ~ Stob. 1, 3, 7 ‖ 347 cf. mon. 432, 626 ‖ 348 cf. Pap. VIII 8; mon. 425 ‖ 349 = Stob. 1, 1, 19 (Eurip. fr. 397 TGF²) ‖ 350 cf. Comp. I 256; mon. 1, 246, 336, 581, 606 ‖ 351 ~ Aesch. Sept. 625 | cf. mon. 334 ‖ 352 cf. mon. 322; Eurip. Electra 890sq.; Pap. X 4

336 add. Jk. ‖ 337 *αἰεί σ' ὠφελεῖν* My., *ἀεὶ σὲ ὠφελεῖν* codd. ‖ 338 *θεῶν ὄνειδος* Mk., *θεοῦ δ' ὄνειδος* Γ, *θεοῦ ὄνειδος* cett. ‖ 339 *θυμῷ* Schneider, *θυμοῦ* codd. ‖ 340 add. Mk. ‖ 343 *τὰ ὀπίσω* Stob. ‖ 344 *θεοῦ μὲν οὐδεὶς ἐκτὸς εὐτυχεῖ βροτός* Eurip. Anthol. Graec. 10, 107, *θεοῦ γὰρ οὐδεὶς εὐτυχεῖ βροτῶν ἄνευ* γ ‖ 345 *δὲ*] *γε* H | *οὐχ*] *οὐδ'* B | *ὑπεκπηδᾷ* Stob. (Wachsm.) ‖ 349 *πλέεις* B ‖ 350 *γεγώς* Jk., *γεγονώς* codd. | *ἄνθρωπε* Mk., *ἄνθρωπος* codd. | *θνητὸς δὲ γεγονὼς μήποτε φρόνει μέγα* Boiss. ‖ 351 *τὸ*] *δὲ* Aesch. Sept. 625 ‖ 352 *θεὸν μὲν ἡγοῦ πρ[* Pap. X 4

Θανάτου †μόνον οὐκ ἔστιν ἐπανόρθωμα.
Θεῷ προσεύχου πημάτων λαβεῖν λύσιν.
Θυμὸν φυλάττου· τὸ φρονεῖν γὰρ οὐκ ἔχει.
Ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.
Ἴσον θεῷ σου τοὺς φίλους τιμᾶν θέλε.
Ἴσος ἴσθι πᾶσι, κἂν ὑπερέχῃς τῷ βίῳ.
Ἴσος ἴσθι τοῖς τρόποισι πλουτῶν ὡς πένης.
Ἴσχυε μέν, μὴ χρῶ δὲ συντόνως θράσει.
Ἰσχυρότερον δέ γ' οὐδέν ἐστι τοῦ λόγου.
Ἰσότητα τίμα, μὴ πλεονέκτει μηδένα.
Ἱστοὶ γυναικῶν ἔργα κοὐκ ἐκκλησίαι.
Ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή.
Ἱκανῶς βιώσεις γηροβοσκῶν τοὺς γονεῖς.
Ἰσότητα δ' αἱροῦ ⟨καὶ⟩ πλεονεξίαν φύγε.
Ἰδὼν ποτ' αἰσχρὸν πρᾶγμα μὴ συνεκδράμῃς.
Ἰσχυρὸν ὁ νόμος ἐστίν, ἂν ἄρχοντ' ἔχῃ.
Ἱκανὸν τὸ νικᾶν ἐστι τοῖς ἐλευθέροις.
Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.

353 *δ* ‖ **354** **U** ‖ **355** *υ* ‖ **356** *ψ δ* ‖ **357** *ε* **B** *Γ* ‖ **358** *ψ δ υ γ Γ* ‖ **359** *δ* ‖ **360** *δ* ‖ **361** *χ γ Γ* ‖ **362** **Α** *Σ* ‖ **363** *χ Γ* ‖ **364** *χ γ Γ* **Par** ‖ **365** *ε* **B** *Γ* ‖ **366** **B** *Γ* ‖ **367** *γ* **B** ‖ **368** *χ* **K** *Γ* ‖ **369** **A** ‖ **370** *υ ε ψ*

354 cf. Eurip. Androm. 900 ‖ **355** cf. mon. 339, 348; Comp. I 49 ‖ **356** cf. Xen. Anab. 5, 6, 4; Plat. Theag. 122 B ‖ **357** cf. mon. 525, 526 ‖ **358** = Pap. VIII 9 = Pap. X 5—6 | cf. mon. 359, 373 ‖ **359** cf. mon. 358, 373 ‖ **360** cf. mon. 377 ‖ **362** cf. mon. 366 ‖ **363** cf. Nov. Test. Pauli Epist. ad Corinth. 1, 14, 34 ‖ **364** cf. Comp. III 1—2 ‖ **365** = Pap. IX 1—2 (recto) ‖ **366** cf. mon. 362 ‖ **367** = Pap. IX 5—6 (recto) ‖ **370** = Pap. X 6 = Comp. I 173 | cf. mon. 514, 534

353 *θάνατον φυγεῖν οὐκ ἔστι τῶν πάντων μόνον* Erbse ‖ **357** *θεοῦ ε* **B** ‖ **358** *πᾶσι*] *παντὶ* **S** | *ὑπερέχεις* **A**, *ὑπερβάλῃς δ*, *προύχῃς* **B** *Γ* | *τῷ βίῳ*] *πλούτῳ υ*, *χρυσίῳ* **S**, *τύχῃ δ*, *βίου* **B** ‖ **359** *ἴσος ἴσθι τοῖς τρόποισι πλουτῶν ὡς πένης* My., *ἴσος ἴσθι τοῖς τρόποις πλουτῶν ὥσπερ ἧς* codd. ‖ **360** *συντόνως θράσει* Mk., *συντόνως τῷ σῷ θράσει* codd. ‖ **361** *δέ γ' Γ*, om. cett. ‖ **362** *μὴ Σ*, *καὶ* Mk., om. **A** ‖ **363** *ἱστὸς γυναικῶν ἔργον* **O** | *οὐκ ἐκκλησία* **D** ‖ **364** *ἰὸς*] *ἴσον* **A** *υ* ‖ **366** *καὶ* add. Mk. ‖ **368** *ἂν*] *ἢν Γ* | *ἰσχυρὸς ἔστω νόμος ἂν σοφῶν γὰρ ἀντέχῃ* **K** ‖ **369** *τοῖς ἐλευθέροις*] *τῶν ἐλευθέρων* Mk. | *ἐστι* Mk., *ἔπι* codd.

Ἴσον ἐστὶν ὀργὴ καὶ θάλασσα καὶ γυνή.
Ἰσχυρὸν ὄχλος ἐστίν, οὐκ ἔχει δὲ νοῦν.
Ἴσος ἴσθι κρίνων καὶ φίλους καὶ μὴ φίλους.
Ἴση λεαίνης καὶ γυναικὸς ὠμότης.
Ἰδών τι κρυπτὸν μηδὲν ἐκφάνῃς ὅλως.
Ἱκέτην γέροντα καὶ πένητα μὴ προδῷς.
Ἴσχυε σοφίᾳ κἀρετῇ, χρόνῳ δὲ μή.
Ἰσχυρόν ἐστι πρᾶγμ' ἀλήθει' ὡς φύσις.
Ἰατρὸς ἀδόλεσχος ἐπὶ τῇ νόσῳ νόσος.
Ἴσον ἐστὶν εἰς πῦρ καὶ γυναῖκας ἐμπεσεῖν.
Καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον.
Καιρὸς γάρ ἐστι τῶν νόμων κρείττων πολύ.
Κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός.
Κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.
Κρίνει φίλους ὁ καιρός, ὡς χρυσὸν τὸ πῦρ.
Κακὸν μέγιστον ἐν βροτοῖς ἀπληστία.

371 A || **372** *ψ* W *Γ* || **373** *υ ψ γ* || **374** *χ ζ γ Γ* Par || **375** *ε* || **376** *δ* || **377** *δ* || **378** K || **379** *χ δ Γ* Vat || **380** *υ* || **381** *χ γ Γ* R U Vat || **382** B K *Γ* || **383** *χ ζ υ γ Γ* Ven || **384** *χ* U *Γ* || **385** *χ ζ υ γ Γ* || **386** *χ ζ* W *Γ* Ven

371 cf. mon. 323, 374, 380 || **373** cf. mon. 358, 359; Boiss. III p. 471 || **374** = Pap. II 9 = Pap. X 7 | cf. mon. 453 || **375** cf. Stob. 3, 1, 14 (Men. II fr. 480) || **376** ~ Pap. IX 4—5 (recto) | cf. mon. 542 || **377** = Pap. X 7—8 | cf. mon. 360 || **380** cf. Boiss. III p. 471; mon. 323. 371, 374 || **381** ~ Apostol. 9, 59 D || **382** cf. mon. 387, 394, 630 || **383** = Pap. X 10 = adesp. fr. 314 TGF² | cf. flor. *ἄριστον* Nr. 73; mon. 412 || **384** cf. Pap. VIII 2; mon. 2, 122, 436 || **385** = Pap. IX 8—9 (recto) = Comp. I 165 | cf. Comp. II 83—84; III 59—60 || **386** cf. mon. 297, 317, 446, 794, 795, 853

373 *ἴσος φίλοις μὲν ἴσθι καὶ φίλοις κρίνων* B || **374** *ἴση* U Bav Ox Pap. II 9 et Pap. X 7, *ἴσον* cett. | *γυναικῶν* W || **375** *κρυπτὸν* Mk., *κακὸν* K, *χρῆμα* cett. || **376** *προδῷς* Mk., *παρείδῃς* Pap. IX 4—5, *παρίδῃς* codd., *γέλα* Th. || **377** *χρόνῳ*] *δόλῳ* F. W. Schmidt || **378** *ἰσχυρόν . . . φύσις* Sn., *ἰσχυρὸν πρᾶγμά ἐστιν ἡ ἀλήθεια ὡς φύσις* K || **379** *ἐπὶ τῇ νόσῳ νόσος* P, *ἐστιν ἐπὶ τῇ νόσῳ νόσος* K, *νοσοῦντι πάλιν νόσος ψ Γ*, *ἄλλη τις νόσος* **o** *Ἰατρὸς* ⟨*υ*⟩ *ἀ. ἐπὶ νόσῳ ν.* Mtt. || **381** *τὸ*] *τοῦ* U, *τι* Apostol. | *παντός*] *πάντα γ* || **383** *κακοῖς . . . κακός*] *σοφός . . . σοφός ζ*(2) *σ Γ*(2) B(2) || **385** *καιρός*] *χρυσός* **ϱ** | *ὡς*] *ἢ* **o** Λ | *φίλους ὁ καιρὸς χρυσὸν ἡ φλὸξ δὲ κρίνει* U || **386** *βροτοῖς*] *κακοῖς ζ* | *ἀπληστία*] *ἀπιστία* C(2)

Καιροὶ δὲ καταλύουσι τὰς τυραννίδας.
Κατ' †ἰδίαν φρόνησιν οὐδεὶς εὐτυχεῖ.
Κόλαζε τὸν πονηρόν, ἄνπερ δυνατὸς ᾖς.
Καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν.
Κρίνειν τὸ δίκαιον, μὴ τὸ συμφέρον θέλε.
Κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας.
Καλὸν γυναικὸς εἰσορᾶν καλοὺς τρόπους.
Καιροῦ τυχὼν καὶ πτωχὸς ἰσχύει μέγα.
Κακοῦ μεταβολὴν ἀνδρὸς οὐ δεῖ προσδοκᾶν.
Καλὸν τὸ γηρᾶν καὶ τὸ μὴ γηρᾶν πάλιν.
Κάλλιστα πειρῶ καὶ λέγειν καὶ μανθάνειν.
Κακὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή,
καὶ κτώμεθ' αὐτὰς ὡς ἀναγκαῖον κακόν.
Καιρῷ σκόπει τὰ πράγματ', ἄνπερ νοῦν ἔχῃς.
Κἂν τοῖς ἀγροίκοις ἐστὶ παιδείας ἔρως.
Καλὸν φέρουσι καρπὸν οἱ σεμνοὶ τρόποι.
Κάλλιστον ἐν κήποισι φύεται ῥόδον.

387 BKΓ || **388** γBΓ || **389** δγA || **390** χγΓ || **391** δBΓ || **392** χζγ || **393** BΓζ || **394** ψγUΓ || **395** δγA || **396** χζΓ || **397** χWU || **398** ζBΓ || **399** εB || **400** ζγ || **401** BWUΓ || **402** υζBΓ || **403** A

387 cf. Pap. IX (recto) 10—11; mon. 382 || **389** = Pap. IX verso 7—8 | cf. mon. 413 || **390** cf. mon. 11 || **392** ~ Comp. I 81 | cf. Eurip. Orest. 1024 et Med. 1018 || **394** cf. Pap. IX 10—11 (recto); Comp. I 83—84; mon. 382 || **395** cf. mon. 255 || **396** cf. Stob. 3, 22, 69; Pap. VIII 10; mon. 419 || **397** = Pap. IX 4—5 (verso) | cf. mon. 94, 781 || **398** cf. Eurip. Med. 231 || **400** cf. mon. 339 || **401** cf. mon. 2, 122, 384, 436 || **402** cf. mon. 383, 411, 412 (Pap. X 9)

388 *κατ' ἰδίαν*] *κατὰ τὴν ἰδίαν* Mk. || **389** *δυνατὸν ᾖ* δ || **391** *τὸ δίκαιον καὶ μὴ* δ || **392** *κούφως*] *ῥᾷον* γB(2) D(2) | *ἐνεστώσας* ζ et Comp. I 81 || **393** *καλὸν*] *κάλλος* ζ || **394** *καὶ* Nck., *ὁ καὶ* U, *γὰρ* cett. || **395** *ἀνδρὸς οὐ δεῖ προσδοκᾶν* Th., *ἀνδρὸς χρὴ σιωπᾶν* γ, *ἀνδρὸς οὐ δεῖ σε σκοπεῖν* A | *καιρῶν μεταβολὴν πάντοτε δεῖ σκοπεῖν* ζ || **396** *γηρᾶν* (ante *καὶ*)] *γῆρας* H | *καλὸν τὸ γηρᾶν, τὸ δ' ὑπεργηρᾶν κακόν* ζ (cf. mon. 419) || **398** *κακὸν*] *καλὸν* Γ | *γυνή*] *δάμαρ* U || **399** *αὐτὰς*] *πάντες* B || **400** *ἄνπερ*] *εἴγε* ζ | *ἔχεις* ζ || **401** *κἂν*] *καὶ* U | *ἔρως* U, *λόγος* cett., *κλέος* Gp. || **402** *φέρουσι*] *φύουσι* Γ | *καρπὸν καλὸν φέρουσιν οἱ χρηστοὶ τρόποι* Taur

Κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ.
Κέρδος πονηρὸν μηδέποτε βούλου λαβεῖν.
Καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε.
Καλὸν θέαμα δ' ἐστὶν εὖ πράττων φίλος.
Κενῆς δὲ δόξης οὐδὲν ἀθλιώτερον.
Κρεῖττον σιωπᾶν ἐστιν ἢ λαλεῖν μάτην.
Καλὸν τὸ θνήσκειν οἷς ὕβριν τὸ ζῆν φέρει.
Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
Κακὸν φέρουσι⟨ν⟩ καρπὸν οἱ κακοὶ φίλοι.
Καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται.
Καλὸν τὸ θησαύρισμα κειμένη χάρις.
Κρεῖσσον τὸ μὴ ζῆν ἐστιν ἢ ζῆν ἀθλίως.
Καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά.
Καλὸν δὲ νήφειν ἢ τὰ πολλὰ κραιπαλᾶν.
Καρπὸς δ' ἀρετῆς δίκαιος εὔτακτος βίος.

404 *χγΓ* || **403** *ψ*K*Γ* || **406** *χγΓ* Ven || **407** B*Γ* || **408** *χΓ* || **409** *χζγΓ* Ven || **410** *χζγΓ* || **411** *εψΓ* || **412** *χζγΓ* || **413** *χζγΓ* || **414** *χΓ* || **415** *χγΓ* || **416** *ψΓ* Jos || **417** *ζ*B*Γ* || **418** *χδγΓ*

404 cf. Publ. U 30 'ubi iudicat qui accusat vis non lex valet' || **405** cf. mon. 422; Soph. fr. 738 TGF² || **406** cf. mon. 421, 442 || **407** cf. mon. 47, 739 || **409** = Stob. 3, 33, 7 (Philonides fr. 18 Kock) ~ Comp. I 191 | cf. Comp. I 129; mon. 258, 292, 306, 521, 710 || **410** = Comp. I 250 | cf. mon. 415 || **411** = Eurip. Med. 618 | cf. Soph. Aiax 664—665 || **412** = Pap. X 9 | cf. mon. 402 || **413** = Pap. IX 9—10 (verso) = adesp. fr. 582 TGF² || **415** cf. Stob. 3, 53, 8 (Philem. fr. 203 Kock); Stob. 4, 53, 11 (Soph. fr. 448 TGF²); Stob. 4, 53, 23 (Eurip. fr. 596 TGF²); Eurip. Heraclid. 200; Comp. I 40; Eurip. Iph. Aul. 1252; mon. 276, 772 || **416** = Aesch. fr. 674 Mette ~ Stob. 3, 29, 24

405 *βούλου*] *πειρῶ* K B(2) | *μὴ λαβεῖν βούλου ποτέ* *Γ* (1) B(1) | *κέρδη πονηρὰ μηδέπω λαβεῖν θέλε* C (2) || **409** *ἐστιν*] *μᾶλλον* *νγ*, om. *φΓ* Ven | *λαλεῖν μάτην*] *μάτην λαλεῖν* Comp. I 191, *λαλεῖν ἃ μὴ πρέπει* *Γ*, *λαλεῖν ἃ μὴ θέμις* Comp. I 129 || **410** *κακὸν τὸ θνητοῖς οἷς* B | *οἷς*] *εἰ* *λ* R | *ὕβριν τὸ ζῆν* *Γ*, *τὸ ζῆν ὕβριν* cett. || **411** *δῶρ'* Eurip. Med. 618, *δῶρον* codd. || **412** *φέρουσιν* Pap. X 9 et A, *φέρουσι* cett. | *οἱ κακοὶ φίλοι*] *αἱ κακαὶ πράξεις* *λ* || **414** *τὸ*] *δὲ* B*Γ*, *τι* Mk. | *κειμένη*] *εἰ μένει* H || **415** *κρεῖσσον* *Γ*, *καλὸν* *χ* W, *κάλλιον* cett. || **416** *γέροντι*] *γέροντα* Stob. | *σοφά* Stob., *σφόδρα* *φΓ*, *σοφία* Jos || **417** *δὲ*] *τὸ* C (2) | *κραιπαλᾷς* Erbse || **418** *δίκαιος* *δ*, *ἐστιν* cett.

Καλὸν τὸ νικᾶν ἀλλ' ὑπερνικᾶν κακόν.
Κοινὸν ἀγαθὸν τοῦτ' ἐστί, χρηστὸς εὐτυχῶν.
Καλῶς πένεσθαι κρεῖττον ἢ πλουτεῖν κακῶς.
Κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.
Κακῷ σὺν ἀνδρὶ μηδ' ὅλως ὁδοιπόρει.
Καιρὸς †γὰρ δεσποτεύων καὶ πᾶσιν δύναμιν διδοῖ.
Καλόν γε γαστρὸς κἀπιθυμίας κρατεῖν.
Κάλλιστα Μουσῶν φθέγγεται πλουτῶν ἀνήρ.
Καλὴ διαδοχὴ τοῦ γένους †ἐπὶ τὰ τέκνα.
Κακοπραγμονεῖν γὰρ οὐ πρέπει τὸν ἐλεύθερον.
Κόλαζε κρίνων, ἀλλὰ μὴ θυμούμενος.
Λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.
Λίαν φιλῶν σεαυτὸν οὐχ ἕξεις φίλον.
Λήσειν διὰ τέλους μὴ δόκει πονηρὸς ὤν.

419 *φ* || **420** B*Γ* || **421** *χζυΓ* || **422** *χζγΓ* || **423** *χζΓ* || **424** *δ* || **425** *δ* || **426** U || **427** K || **428** K || **429** *υ* || **430** *ψδγΓ* || **431** *χδ υΓ* || **432** *λ*B*Γ*

419 = Pap. IX 6—7 (recto) | cf. Eurip. Phoen. 1200; mon. 396 || **420** ~ Stob. 4, 1, 23 (Men. II fr. 542) | cf. Publ. P 26 'potens misericors publica est felicitas' || **421** ~ Stob. 4, 33, 1 (Antiph. fr. 258 Kock) | cf. mon. 406, 442 || **422** = Pap. IX 2—4 (verso) | cf. Eurip. Cycl. 312; Soph. fr. 738 TGF²; mon. 119, 405, 728, 755; Comp. I 155—156 || **423** cf. mon. 25, 722 || **424** cf. Pap. IX 10—11 (recto); mon. 394 || **425** cf. Publ. A 51 'animo ventrique imperare debet, qui frugi esse vult'; mon. 348 || **426** = adesp. fr. 464 TGF² | cf. mon. 752 || **429** = Demonax fr. 2 TGF² | cf. mon. 373, 564 || **430** cf. mon. 436 || **431** = adesp. fr. 316 TGF² | cf. flor. *ἄριστον* Nr. 134; mon. 678, 778 || **432** cf. mon. 347, 626, 841

419 *καλὸν . . . κακόν* Collt., *καλὸν τὸ νικᾶν, ὑπερνικᾶν δὲ σφαλερόν* A, *ὑπερνικᾶν ἀσφαλέστατον* B || **420** *ἀγαθὸν*] *δὲ καλὸν Γ* | *κοινὸν . . . εὐτυχῶν* Dv., *κοινὸν ἀγαθόν ἐστι τοῦτο χρηστὸς εὐτυχῶν* Stob., *τοῦτο* om. codd., *κοινὸν γὰρ ἀγαθόν ἐστι* Mk. || **421** *κρεῖττον υ*, *μᾶλλον* cett. et Stob. || **422** *κέρδη πονηρὰ γ*B | *ζημίας ζ*WA || **423** *μηδ' ὅλως*] *μὴ δ' ὅλως* DK, *μηδαμῶς* Pr. || **424** *δύναμιν πᾶσιν* K | *διδοῖ* Boiss., *δίδει* codd. | *καιρὸς δὲ πᾶσι κύριος δύναμιν διδοῖ* Boiss. (cf. Pap. IX 10—11) || **427** *ἐπὶ τὰ*] *ἔσται* vel *ἐστιν* My. | *ἐπὶ τὰ τέκνα*] *τὰ παιδία* Sn. || **428** *γὰρ* My., *μόνον* K || **430** *ἀτυχίας Γ*, *εὐτυχίας* cett. || **431** *ἑαυτὸν* B*Γ*(1) | *φίλους* BFR*Γδ* || **432** *λήσειν διὰ τέλους* B*Γ*, *λυσιτελεῖν* cett. | *μὴ δόκει*] *νόμιζε Γ*

Λόγος τις εὐχάριστος ἀπόδοσις καλή.
Λόγοις ἀμείβου τὸν λόγοις πείθοντά σε.
Λάμβανε πρόνοιαν τοῦ προσήκοντος βίου.
Λιμὴν πέφυκε πᾶσι παιδεία βροτοῖς.
Λόγῳ μ' ἔπεισας φαρμάκῳ σοφωτάτῳ.
Λόγος διοικεῖ τὸν βροτῶν βίον μόνος.
Λογισμός ἐστι φάρμακον λύπης μόνος.
Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους.
Λαλεῖν μὲν οἶδας, τί δὲ λαλεῖς οὐκ αἰσθάνῃ.
Λεπτῶς γέ τοι ζῆν κρεῖσσον ἢ λαμπρῶς κακῶς.
Λαβὼν ἀπόδος, ἄνθρωπε, καὶ λήψῃ πάλιν.
Λιμὴν νεὼς ὅρμος, βίου δ' ἀλυπία.
Λύπην γὰρ εὔνους οἶδε θεραπεύειν λόγος.
Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ.
Λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.
Λυποῦντα λύπει, καὶ φιλοῦνθ' ὑπερφίλει.

433 *λ δ* ‖ 434 *χ ζ Γ* ‖ 435 *λ δ* **B** *Γ* ‖ 436 *χ δ υ Γ* ‖ 437 *χ ζ* **W** *Γ* ‖ 438 *χ ζ Γ* ‖ 439 *χ Γ* ‖ 440 *χ γ Γ* Vat Ven ‖ 441 *o* ‖ 442 **B** *Γ* ‖ 443 *ψ Γ* ‖ 444 *χ ε Γ* ‖ 445 *χ γ Γ* ‖ 446 *χ γ Γ* ‖ 447 *χ γ Γ* ‖ 448 *χ Γ*

436 cf. mon. 2, 122, 384 ‖ 437 = Pap. VI 11 = adesp. fr. 317 TGF² | cf. mon. 46, 439, 454, 476, 587, 840 ‖ 439 ~ Pap. VI 3 | cf. Stob. 2, 4. 4 (Eurip. fr. 1065 TGF²); mon. 46, 437, 452, 454, 476, 587, 840 ‖ 440 = Stob. 4, 35, 13 (Soph. fr. 602 TGF²) ‖ 442 cf. mon. 421; Eurip. Iph. Aul. 1252 ‖ 443 cf. Pap. II 11; Boiss. III p. 471; flor. *ἄριστον* Nr. 78; Vit. p. 102, 9—10; mon. 198 ‖ 445 = Pap. VI 7 = Men. II fr. 642 ~ Stob. 4, 48. 29 | cf. mon. 452, 456, 587 ‖ 446 cf. mon. 297, 386, 794, 795 ‖ 447 = Apostol. 10, 73 A

433 *λόγος εὐχάριστος χάριτός ἐστιν ἀνταπόδοσις λ.* ‖ 435 *λάμβανε δ, λαβὲ* cett., *λαβοῦ* Mk. ‖ 436 *λιμὴν] τιμὴ Γ* ‖ 437 *μ'] με* **o A**, *δὲ* **U** | *ἔπεισας] πεῖσον* **o A**, *πείθου* **U** ‖ 438 *λόγῳ διοικεῖ τὸν ἀστάθμητον βίον* **U**, *λόγῳ διοικεῖται βροτῶν βίος μόνῳ* **B** *Γ* ‖ 439 *λογισμός] λόγος γάρ Γ, λόγος μέν* **B** | *λύπης φάρμακον Γ* (1) | *μόνος λογισμός ἐστι λύπης φάρμακον* Pap. VI 3 | *μόνον* **B D** ‖ 440 *νόσους* **B F** *Γ* **U** et Stob., *νόσον* cett. ‖ 441 *τί δὲ λαλεῖς* Mk. *τί λαλεῖν δ' o* ‖ 442 *γέ τοι] θέλε* **B** | *λεπτῶς καλῶς ζῆν* Br. ‖ 444 *λιμὴν πλοίου μέν, ἀλυπία δ' ὅρμος βίου Γ χ, λιμὴν τοῦ πλοίου ὅρμος· τοῦ βίου ἀλυπία ε, λιμὴν πλοίου ὅρμος, βίου δ' ἀλυπία* Boiss. | *νεὼς* Th., *πλοίου* codd. ‖ 445 *εὔνους] ὄντως* **H** | *θεραπεύειν* Stob. et Pap. VI 7, *ἰᾶσθαι* codd. | *λόγος] φίλος* Stob. ‖ 448 *λυποῦντα] μισοῦντα Γ* **B** (2) | *λύπει] φίλει* **B** *Γ* (y, l), *μίσει Γ* (p, l)

Λυπεῖ με δοῦλος δεσπότου μεῖζον φρονῶν.
Λύπη παροῦσα πάντοτ' ἐστὶν ἡ γυνή.
Λόγον παρ' ἐχθροῦ μήποθ' ἡγήσῃ φίλον.
Λύπης ἰατρός ἐστιν ἀνθρώποις λόγος.
Λέοντι κρεῖττον ἢ γυναικὶ συμβιοῦν.
Λύει δὲ λύπην παντὸς ἀνθρώπου λόγος.
Λάλει τὰ μέτρια, μὴ λάλει ⟨δ'⟩, ἃ μή σε δεῖ.
Λύπης ἰατρός ἐστιν ὁ χρηστὸς φίλος.
Μισῶ σοφιστήν, ὅστις οὐχ αὑτῷ σοφός.
Μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον.
Μεστὸν κακῶν πέφυκε φορτίον γυνή.
Μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί.
Μιμοῦ τὰ σεμνά, μὴ κακῶν μιμοῦ τρόπους.
Μισθὸς διδάσκει γράμματ', οὐ διδάσκαλος.
Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
Μί' ἐστὶν ἀρετὴ τἄτοπον φεύγειν ἀεί.

449 *χδΓ* ‖ **450** *χεΓ* Par ‖ **451** *χλΓ* ‖ **452** *χγ* ‖ **453** *χζυγΓ* ‖ **454** *ζ* ‖ **455** *ε* ‖ **456** *υ* ‖ **457** *χδγ* ‖ **458** *ψδυΓ* ‖ **459** *χζγΓ* Par ‖ **460** *χδγΓ* ‖ **461** *χε* ‖ **462** *ψε* ‖ **463** *χγ*UΓ ‖ **464** AK

449 ∼Stob. 4, 19, 5 (Men. II fr. 562) ‖ 451 = Apostol. 10, 77 B | cf. mon. 239 ‖ 452 = Comp. II 182 | cf. Men. II fr. 782; mon. 46, 445, 456, 587, 840 ‖ 453 cf. mon. 374 ‖ 454 cf. mon. 445, 587, 840; Comp. II 194 ‖ 455 = Pap. XIII 19—20 | cf. Pap. VIII 11; mon. 441 ‖ 456 cf. mon. 445, 452; Boiss. III p. 471 ‖ 457 = Eurip. fr. 905 TGF[2] | cf. mon. 466 ‖ 458 cf. mon. 373, 391, 429 ‖ 459 = Pap. I 36 ‖ 461 cf. Vit. p. 102, 13—14 ‖ 462 cf. Pap. V 18 ‖ 463 = Stob. 3, 29, 10 (Eurip. fr. 701 TGF[2]) | cf. Eurip. Hippol. 207 ‖ 464 = Men. II fr. 179 c | cf. flor. *ἄριστον* Nr. 13

449 *δεσπότην ὑπερφρονῶν δ* | *δεσπότου μεῖζον*] *μεῖζον οἰκέτου* Stob. ‖ 451 *ἐχθρῶν λ* | *λόγους κατ' ἐχθρῶν πλάσσε μὴ δόλως, φίλε* R ‖ 453 *ἢ*] *καὶ* B | *λέοντι . . . συμβιοῦν* Th., *λέοντι συζῆν κρεῖττον ἢ γυναικὶ φλυαρῷ* R, *λέοντι συζῆν ἢ γυναικὶ μαχίμῳ* U Bav, *λέοντι συζῆν ἢ γυναικὶ συμβιοῦν* cett. ‖ 454 *λύπην λύει γὰρ* U ‖ 455 *καὶ* (ante *μὴ*) del. Jk. | *δ'* add. Th. ‖ 457 *αὑτῷ*] *αὐτὸς δ*G ‖ 458 *ὁρῶν*] *βλέπων υ* | *τὸ* om. *υ*R ‖ 459 *γυνή*] *δάμαρ* U (cf. mon. 398) ‖ 460 *ἀεί*] *φίλοις* F ‖ 461 *κακῶν ε*, *κακοὺς* RD, *κακὸν* cett. | *κακ. μιμοῦ* B, *μιμοῦ κακ.* cett. | *τρόπον χ* ‖ 462 *μισθὸς διδάσκει πράγματα διδασκάλοις* B | *γράμματα τοῦ διδασκάλου* A | *πάντας διδάσκει μισθός, οὐ διδάσκαλος* Pap. V 18 ‖ 463 *μοχθεῖν* UB(2), *πονεῖν* cett.

Μακάριος, ὅστις οὐσίαν καὶ νοῦν ἔχει.
Μισῶ σοφιστὴν τὴν πόλιν βλάπτοντά γε.
Μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι κείμενον.
Μακάριόν ἐστιν υἱὸν εὔτακτον τρέφειν.
Μηδέποτε σαυτὸν δυστυχῶν ἀπελπίσῃς.
Μὴ 'μβαινε δυστυχοῦντι· κοινὴ γὰρ τύχη.
Μακάριος, ὅστις ἔτυχε γενναίου φίλου.
Μηδέποτε πειρῶ δύο φίλων εἶναι κριτής.
Μὴ σπεῦδ' ἃ μὴ δεῖ, μηδ' ἃ δεῖ σπεύδειν μένε.
Μὴ τοὺς κακοὺς οἴκτειρε πράττοντας κακῶς.
Μισῶ πένητα πλουσίῳ δωρούμενον.
Μέγιστον ὀργῆς ἐστι φάρμακον λόγος.
Μετὰ τὴν δόσιν τάχιστα γηράσκει χάρις.
Μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν.
Μένει δ' ἑκάστῳ τοῦθ' ὅπερ μέλλει παθεῖν.
Μακάριος, ὅστις μακαρίοις ὑπηρετεῖ.

465 *ψ*K || **466** B || **467** *ψυΓ* || **468** *ψΓ* || **469** *δ*B*Γ* || **470** *λδ* B*Γ* || **471** *λ*BV*Γ* || **472** *ψεγΓ* || **473** Λ || **474** *χζ* || **475** *χζΓ* || **476** *χγ* || **477** *ψ*W*Γ* || **478** *χλυΓ* || **479** *ψΓ* || **480** *ψΓ*

465 = Stob. 4, 31, 100 et 39, 7 (Men. II fr. 101) | cf. Pap. XIII 20; mon. 471, 480, 500, 507 || 466 cf. mon. 457 || 468 cf. mon. 471, 489 || 469 = Comp. I 254 || 471 = Comp. I 246 ~ Vit. p. 102, 15 | cf. mon. 465, 480, 489, 500, 507 || 472 = Comp. I 163 || 473 cf. mon. 479 || 474 = Chares I 18 || 475 = Pap. II 12 = Comp. I 195, 290, 292 = Comp. II 51 | cf. Eurip. fr. 969 TGF² || 476 cf. Stob. 3, 20, 20 (Men. II fr. 518); Stob. 1, 8, 10 (Critias, fr. 2 TGF²); mon. 46, 437, 439, 452, 454, 587, 840; Aesch. Prom. 378 || 477 Stob. 1, 8, 11 (adesp. fr. 508 TGF²) | cf. Apostol. 8, 77 D; mon. 42, 43; Eurip. Hercul. 1223 || 479 cf. mon. 813, 864; Comp. I 41 et 95—96 || 480 cf. Pap. XIII 20; mon. 465, 471, 489, 500, 507

467 *ἐν κακοῖσ' εἰλημμένον* Taur || 469 *μηδέπω* Comp. I 254 || 470 *μὴ ἐπίμενε δ* | *δυστυχοῦσι* B | *καινὴ* P || 471 *ὅστις εὐτυχεῖ γνησίους φίλους* V | *γενναίου*] *χρηστοῦ* Comp. I 246, *γνησίου* Vit. | *μακάριός ἐστιν, ὃς ἔτυχε φίλου λ* || 474 *πράσσοντας* Chares I 18, *πράξαντας* A | *μὴ τοὺς κακῶς πράττοντας οἴκτειρ', ἂν κακοὶ* U, *μὴ τοὺς κακῶς πράττοντας οἰκήτορας λάλει* K || 475 *μισῶ*] *μίσει ζ* (cf. mon. 505, qui versus in U sequitur) || 476 *ὀργῆς ἐστι* Mk., *ἐστιν ὀργῆς* codd. || 477 *δόσιν . . . χάρις*] *σκίαν . . . χρόνος* Stob. | *γήρασε* W || 478 *τοὺς πένητας*] *πῶς πένητα λ*

Μή μοι γένοιθ' ἃ βούλομ', ἀλλ' ἃ συμφέρει.
Μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.
Μισῶ πονηρόν, χρηστὸν ὅταν εἴπῃ λόγον.
Μὴ λοιδόρει γυναῖκα μηδὲ νουθέτει.
Μέμνησο νέος ὢν ὡς γέρων ἔσῃ ποτέ.
Μήποτε λάβῃς γυναῖκα⟨ς⟩ εἰς συμβουλίαν.
Μὴ σπεῦδε πλουτῶν, μὴ ταχὺς πένης γένῃ.
Μέγ' ἐστὶ κέρδος, εἰ διδάσκεσθαι μάθῃς.
Μακάριος, ὅστις εὐτύχησεν εἰς τέκνα.
Μετὰ τῶν δικαίων †τὰς διατριβὰς ποιοῦ.
Μὴ πρὸς τὸ κέρδος πανταχοῦ πειρῶ βλέπειν.
Μαστιγία⟨ς⟩ ἔγχαλκος ἀφόρητον κακόν.
Μηδὲν πονηρὸν πραγματεύου ⟨συμ⟩ποιεῖν.
Μόνος βάδιζ' ἢ δεύτερος, τρίτος δὲ μή.
Μηδέποτε πλούτει θάνατον εὐλαβούμενος.
Μετριοπαθὴς ὕπαρχε τοῖς συμπτώμασιν.
Μὴ μόνος †ἐπίστασο†, ἀλλὰ δοῦναι φίλοις.

481 BWΓ ‖ 482 χζγΓ ‖ 483 χζ ‖ 484 χζγ ‖ 485 ψΓ ‖ 486 ψεγ Par ‖ 487 χγΓ Vat ‖ 488 χγ ‖ 489 BΓ ‖ 490 γK ‖ 491 γ 492 W ‖ 493 K ‖ 494 K ‖ 495 δ ‖ 496 K ‖ 497 P

482 = Stob. 4, 50, 35 (adesp. fr. 550 TGF²) | cf. Stob. 4, 50, 39 (Eurip. fr. 575 TGF²; cf. Wil. Kl. Schr. I, 200); Comp. II 59; mon. 498 ‖ 483 = Stob. 3, 2, 5 (Men. II fr. 481); Publ. M 9 'malus, bonum ubi se simulat, tunc est pessimus'; Publ. M 60 'malitia ut peior veniat se simulat bonum' ‖ 484 = Pap. I 24 ‖ 486 cf. Comp. I 261–262 ‖ 489 cf. mon. 468, 471; Eurip. Orest. 542 ‖ 491 cf. mon. 98 ‖ 492 cf. Men. II fr. 669 a, p. 298 (adesp. fr. 487 Kock) ‖ 495 cf. mon. 487

482 *αἰὼν*] *ἐὼν* Π et Stob. (A), *βίος* γ | *ἔχει*] *φέρει* γ ‖ 483 *μίσει* ε | *χρηστὸν πονηρὸν* B | *ὅταν* Stob., *ὅτ'* χ, *ἂν* ζ | *εἴποι* U ‖ 486 *μήπω* V | *μὴ παραλάβῃς* K | add. Mk. | *γυναῖκα πρὸς* Th. ‖ 487 *πλουτῶν* BC₁, *πλουτεῖν* cett. | *ταχὺ* Π Vat | *μὴ σπεῦδε πλουτεῖν τοῦ τέλους μεμνημένος* U ‖ 488 *μέγ' ἐστὶ*] *μέγιστον* γ ‖ 490 *μετὰ τῶν δικαίων* K, *μετὰ δικαίου ἀεὶ* cett. | *ποιεῖ* Mk. | *μετὰ τῶν δικαίων* {*τὰς*} *διατριβὰς ποιεῖν* ⟨*θέλε*⟩ Erbse ‖ 491 *πανταχοῦ* Nck., *ἀεὶ* codd., *εἰς ἀεὶ* Mk. ‖ 492 *μαστιγία⟨ς⟩* Mk. ‖ 493 add. Sn. ‖ 494 *μόνος βάδιζ' ἢ δεύτερος* My., *μόνος δεύτερος βάδιζε* K ‖ 497 *μὴ μόνος ἐπίστασ', ἀλλὰ καὶ δοῦναι φίλοις* Boiss., *μὴ μόνον ἐπικτᾶσθ', ἀλλὰ καὶ δοῦναι φίλοις* F. W. Schmidt

Μηδένα νομίζε⟨τ'⟩ εὐτυχεῖν, πρὶν ἂν θάνῃ.
Μὴ καταφρονήσῃς τοῦ πένητος εὐτυχῶν.
Μακάριος, ὅστις μὴ ἀπιστεῖν ἐπίσταται.
Μηδὲν ἀνακοινοῦ τῇ γυναικὶ χρήσιμον.
Μὴ⟨ποτε⟩ γάμει γυναῖκα κοὐκ {ἀν}οἴξεις τάφον.
Μαινόμεθα πάντες, ὁπόταν ὀργιζώμεθα.
Μηδὲν λογίζου, πάντα καιρῷ γίνεται.
Μίσει τὸν ἐχθρόν, τὴν δ' ἀλήθειαν λέγε.
Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή.
Μακάριος ὅστις εὐτυχεῖ γενναῖος ὤν.
Μηδὲν ἀσεβῶν | θεοῖσι θῦε· πολλὰ δ' εὐσεβῶν δίδου.
Μέτρῳ †πάντα μανθάνων δικαίως ποιεῖ.
Μη⟨δέ⟩ποτε καυχῶ πλοῦτον ἐν δόμοις ἔχων.
Μήτηρ ἁπάντων γαῖα καὶ κοινὴ τροφός.
Μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει.

498 ζ **499** KC_2 || **500** δ || **501** ε || **502** ε || **503** K || **504** δ || **505** U **506** ε || **507** δ || **508** K || **509** δ || **510** δ || **511** δ || **512** υ

498 = Eurip. Troiad. 510 | cf. Stob. 4, 41, 21 (Soph. fr. 601 TGF²): Soph. Oed. R. 1528—1530; Eurip. Androm. 100—102; Comp. I 69—70; append. 2, 27 || 499 cf. mon. 209 || 500 cf. Pap. XIII 20; mon. 465, 471, 480, 489 || 501 ∼ Pap. I 30 || 502 cf. mon. 151 || 503 = Stob. 3, 20, 4 (Philem. fr. 184 Kock) || 504 cf. Comp. II 22; mon. 481, 769—770 || 505 cf. append. 12, 4; mon. 846 || 506 = Stob. 4, 22, 1 (Eurip. fr. 543 TGF²) || 507 ∼ Stob. 4, 22, 72 (Eurip. fr. 1057 TGF²) | cf. mon. 465, 471, 480, 489, 500 || 508 cf. mon. 340 || 511 cf. mon. 667 || 512 = Stob. 3, 6, 6 (Anaxandrides fr. 601 Kock)

498 add. Sn. ex Eurip. Troiad. 510 | *μηδένα κρῖνε εὐτυχῆ πρὶν ἢ θάνῃ* U | in ζ sequitur mon. 482 || 499 *ὑπερφρονήσῃς· τοῦ π. εὐψυχῶν* K || 500 *μακάριος, ὅστις μηδ' ἀπιστεῖ μηδενί* Erbse || 501 *τῇ γυναικί*] *πρὸς γυναῖκα* Pap. I || 502 add. et del. Sn. | *μὴ δὴ γάμει γυναῖκα κοὐ κλαύσει πάθος* F. W. Schmidt || 503 *ὁπόταν ὀργιζώμεθα* Stob., *ἐὰν ὀργιζόμεθα* K || 504 *κακὸν* post *μηδὲν* et *γὰρ* post *πάντα* del. My. || 507 *γενναῖος ὤν*] *γάμον λαβών* Stob. || 508 *μηδὲν ἀσεβῶν* My., *μὴ ἀσεβῶν* K || 509 *ποίει δικαίως πάντα μανθάνων μέτρῳ* Th., *μέτρῳ δικαίως πάντα μανθάνων ποίει* Erbse, *μέτρῳ δὲ πάντα μανθάνων δίκῃ ποίει* Boiss. || 510 *μη⟨δέ⟩ποτε* Boiss. | *δόμοις* Boiss., *δώμοις* δ || 511 *κοινὴ τροφός* Mk., *τροφὸς κοινή* δ

Νόμῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.
Νόμιζε κοινὰ πάντα δυστυχήματα.
Νικᾷ λογισμὸς τὴν παροῦσαν συμφοράν.
Νοεῖν γάρ ἐστι κρεῖττον καὶ σιγὴν ἔχειν.
Νύμφη δ' ἄπροικος οὐκ ἔχει παρρησίαν.
Νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν.
Νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε.
Νέμεσιν φυλάσσου, μηδὲν ὑπέρογκον ποίει.
Νέῳ δὲ σιγᾶν μᾶλλον ἢ λαλεῖν πρέπει.
Νικᾷ γὰρ αἰεὶ διαβολὴ τὰ κρείττονα.
Νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους.
Νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε.
Νόμος γονεῦσι⟨ν⟩ ἰσοθέους τιμὰς νέμειν.
Νόμιζε σαυτῷ τοὺς γονεῖς εἶναι θεούς.
Νόμοις ἕπεσθαι πάντα δεῖ τὸν σώφρονα.
Νίκησον ὀργὴν τῷ λογίζεσθαι καλῶς.
Νόμιζε γήμας δοῦλος εἶναι διὰ βίου.
Νόσον δὲ κρεῖττόν ἐστιν ἢ λύπην φέρειν.

513 *χδΓ* ‖ **514** *ψδΓ* ‖ **515** *χΓ*K ‖ **516** *ψδΓ* ‖ **517** *χεγΓ* ‖ **518** *χεΓ* ‖ **519** *χεγΓ* ‖ **520** *δ*A ‖ **521** *γχυΓ* Vat ‖ **522** *ψ*W*Γ* ‖ **523** *χγΓ* ‖ **524** *χε*W*Γ* ‖ **525** *λδ*A ‖ **526** *χΓ* ‖ **527** *λυδ*A ‖ **528** *ψλΓ* ‖ **529** *ψλΓ* ‖ **530** *χδ*

513 = Pap. II 13 ~ Stob. 1, 8, 29 (Philem. fr. 204 Kock; epim. 34 TGF^2) | cf. mon. 613 ‖ **514** cf. mon. 370 ‖ **517** = Pap. XII 1—2 = Pap. XIII 21 | cf. Eurip. Phoen. 391 ‖ **518** = Stob. 4. 1. 25 (Soph. fr. 851 TGF^2) | cf. mon. 527 ‖ **519** cf. Stob. 2, 31, 16 (Soph. fr. 632 TGF^2) ‖ **520** = Pap. IV 12 ‖ **521** cf. mon. 258, 292. 306, 409, 555, 710 ‖ **524** cf. mon. 519, 521 ‖ **525** = Stob. 4, 25, 26 (Men. II fr. 600) | cf. mon. 331, 357, 526 ‖ **526** cf. mon. 113, 133. 162, 525, 674 ‖ **527** cf. mon. 518, 537 ‖ **528** cf. mon. 476 ‖ **530** ~ Stob. 4, 35, 6 (Philem. fr. 202 Kock; Pap. VI 8)

513 *νόμῳ*] *χρόνῳ* F*δ*(2) Stob. ‖ **515** *νίκα λογισμῷ Γ* ‖ **516** *κρεῖττόν ἐστιν δ* | *καί* Th., *ἢ* codd., *νοεῖν δὲ κρεῖττόν ἐστι καὶ* . . . Sn. ‖ **518** *τοῖσιν ἐγχώροις Γ* et Stob. (Grot.), *τοῖσιν ἐγχωρίοις χε* Stob. (SMA) ‖ **520** *ποιεῖν* K | *μηδὲν ὑπερορᾶν φρόνει* A, *μηδ' ἄγαν ὑπερφρόνει* Mk. ‖ **521** *νέον γχ* | *δὲ*] *δεῖ χ* | *μᾶλλον* om. *χ*W | *λαλεῖν ἃ μὴ πρέπει χ* ‖ **522** *αἰεὶ Γ*, *ἀεὶ* cett. | *διάβολος* A | *τὰ κρείττονος ἀεὶ* A, *τοὺς κρείττονας* W ‖ **525** *γονεῦσιν* Stob., *γονεῦσι* codd. ‖ **526** *εἶναι θεούς*] *ἰσοθέους* F ‖ **527** *νόμων ἔχεσθαι* A | *πᾶσι* K | *δεῖ βροτὸν τὸν σώφρονα* Tuur ‖ **529** *διὰ βίου*] *τῷ βίῳ Γ*, *τοῦ βίου λ* ‖ **530** *νόσον*] *νοσεῖν δ* | *δὲ*] *πολὺ* Pap. VI 8, Stob.

Νοῦς ἐστιν ὁ θεός· τοῦτον {τὸν ν}οῦν ἔχειν καλόν.
Νὺξ μὲν ἀναπαύει, ἡμέρα δ' ἔργον ποιεῖ.
Νικᾷ παλαιὰς χάριτας ἡ νέα χάρις.
Νόμιζε πάντα κοινὰ τῶν φίλων βάρη.
Νέον †πῦρ ἐστιν ἡμῶν τοῦ βίου τὰ χρήματα.
Νέος {ἐ}ὰν πονήσῃς, γῆρας ἕξεις εὐθαλές.
Νόμοις ἕπεσθαι τοῖς βροτοῖς κλέος μέγα.
Νόμου ⟨δὲ⟩ χωρὶς οὐδὲν {γίνεται} ἐν βίῳ καλόν.
Νόμος πονηρὸς ἀνομίαν †παρεμφαίνει.
Νοῦς ἐστι πάντων ἡγεμὼν τῶν χρησίμων.
Νόμιζε πλουτεῖν, ἂν φίλους πολλοὺς ἔχῃς.
Ξένους πένητας μὴ παραδράμῃς ἰδών.
Ξένοισι πιστοῖς πιστὸς ὢν γίνου φίλος.
Ξένοις ἐπαρκῶν τῶν ἴσων τεύξῃ ποτέ.
Ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν.
Ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος.
Ξένος ὢν ἀκολούθει τοῖς ἐπιχωρίοις νόμοις.
Ξενία ⟨δὲ⟩ χαλεπὴ ⟨– ⏑⟩ κατὰ πολλοὺς {τοὺς} τρόπους.
Ξενίας ἀεὶ φρόντιζε, μὴ καθυστέρει.
Ξένον ἀδικήσῃς μηδέποτε καιρὸν λαβών.

531 ε || 532 ε || 533 ε || 534 U || 535 K || 536 ε || 537 U || 538 K || 539 K || 540 υ || 541 υ || 542 χευΓ || 543 χζΓ Vat || 544 χζυγΓ || 545 ψζλΓ || 546 χζυγΓ || 547 εγΑ || 548 γΑ || 549 ΑΚΓ || 550 ΑΚΓ

532 cf. mon. 76 || 534 cf. mon. 370, 514; Men. II fr. 10 || 535 cf. mon. 181, 612 || 537 cf. mon. 518, 527 || 540 cf. mon. 68 || 542 cf. mon. 376 || 546 = Apostol. 12, 22 A | cf. Boiss. I p. 124 || 547 ~ Pap. IV 11 | cf. mon. 518 || 548 cf. mon. 283

531 del. Th. || 534 *τῶν* Jk., *τὰ* U || 535 *νέον πῦρ*] *νοῦς* My. || 536 {*ἐ*}*ὰν* Mk. || 538 add. Sn. | *γίνεται* post *οὐδὲν* del. Sn. || 539 *παρεμφαίνει*] *παρεμφανεῖ* vel *παρεμφέρει* My. | *ἀνομίας παρέμφασις* Erbse || 540 *τῶν χρημάτων* Vat 742 || 542 *παραδράμῃ* τ, *παρεκδράμῃς* ε | *ἰδών*] *ἰδεῖν* Taur || 543 *ξένοισι*] *ξένοις δὲ* ζ, *ξένοις τε* ο | *γίνου*] *γενοῦ* ο || 545 *ξένοις* λ || 546 *σῶμα*] *σάρκα* υ || 547 *ἐγχωρίοις* Α | *τοῖς ἐθισμοῖς τῶν ξένων* Jk. in Pap. IV 11 || 548 suppl. Mtt., *τοὺς* Α, om. cett. | *τοὺς* ⟨*ξένων*⟩ *πολλοὺς* Erbse || 549 *μὴ καθυστέρου* Α, *μὴ ὑπὲρ ἑτέρων* K || 550 *ἀδικήσῃς* Mk., *ἀδικήσεις* codd.

Ξυνετὸς πεφυκὼς φεῦγε τὴν κακουργίαν.
Ξένος ὢν ἀπράγμων ἴσθι καὶ πράξεις καλῶς.
Ξένον προτιμᾶν μᾶλλον ἀνθρώποις ἔθος.
Ξένους ξένιζε, μήποτε ξένος γένῃ.
Ξένῳ δὲ σιγᾶν κρεῖττον ἢ κεκραγέναι.
Ξένος πεφυκὼς τοὺς ξενίζοντας σέβου.
Ξένων ἀκούειν μὴ †παραδεχθῇς ποτε.
Ξένον προτίμα καὶ φίλον κτήσῃ καλόν.
Ξένους νόμιζε τοὺς ἀρετῆς ὄντας ξένους.
Οὐκ ἔστιν οὐδείς, ὅστις οὐχ αὑτὸν φιλεῖ.
Οὐκ ἔστιν αἰσχρὸν ἀγνοοῦντα μανθάνειν.
Οὐκ ἔσθ' ὑγιείας κρεῖττον οὐδὲν ἐν βίῳ.
Οὐκ ἔστι λύπης χεῖρον ἀνθρώποις κακόν.
Οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται.
Οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.
Οὐκ ἔστι σιγᾶν αἰσχρόν, ἀλλ' εἰκῇ λαλεῖν.
Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ ἐκφάνῃς φίλου.

551 *ψλΓ* || **552** *ψγΓ* || **553** *χΓ* || **554** *φεγΓ* || **555** *χλΓ* || **556** *χ*K*Γ* || **557** *δ* || **558** *δ* || **559** *υ* || **560** *χΓ* || **561** *χζ* || **562** *χεΓ* || **563** *χδΓ* || **564** *χδυγΓ* || **565** *ψεΓ* || **566** *χ*W || **567** *ψζΓ*

554 = Pap. II 14 | cf. Vit. p. 102, 14 (append. 13, 37); mon. 553, 556 || **555** cf. mon. 258; Apostol. 12, 21 D || **556** cf. mon. 553, 554 || **560** cf. Comp. I 186 (Eurip. Med. 86); Eurip. Oed. C. 309; Ter. Andr. 427; mon. 814 || **563** cf. Stob. 4, 35, 7 (Men. II fr. 625); Stob. 4, 35, 12 (Men. II fr. 626); mon. 440 || **564** cf. Stob. 3, 20, 10; mon. 608 || **565** ~ Stob. 3, 1, 6 (Eurip. fr. 1029 TGF[2]) | cf. Soph. Ant. 702; Comp. I 247; mon. 575, 715 || **567** = Comp. I 47 ~ Philem. fr. 233 Kock ~ Pap. XV 1 (Chares I 20)

551 *κακουργίαν* B*Γ*, *πανουργίαν* cett. || **552** *ἴσθι ψΓ*, *ἔσο* cett. | *πράξεις ψΓ*, *ζήσεις λ*, *ζῆσον* W || **553** *ξένους* D | *ἔθος*] *ἔφυ χ* || **554** *μήποτε* Pap. II 14, *γάρ ποτε ε*, *καὶ σὺ γὰρ* cett. | *γένῃ* R et Pap. II, *ἔσῃ* cett. | *ξένιζε*] *προτίμα ζ* || **555** *ξένῳ χ*, *ξένον* cett. | *δὲ*] *δεῖ λ* | *κρεῖττον* om. *λ* || **556** *ξενίζοντας σέβου*] *ξένους σέβου πλέον δ*(2) *ο*(2). *ξενοδόχους σέβου* Λ*Γ* || **557** *ξένον . . . ποτὲ λόγον* K | *μὴ παρολιγωρῇς ποτε* Erbse || **561** *ἀγνοοῦντας* F U || **563** *ἀνθρώπῳ δ* D || **564** *μετ'*] *δι' γ* | *μετ' ὀργῆς*] *τὸν πόλεμον* U | in Taur sequitur *τὸ γὰρ μετ' ὀργῆς οὐδέπω βουλὴν ἔχει* || **565** *σοφίας*] *ἀρετῆς* Stob. || **566** *λαλεῖν*] *λέγειν* W || **567** *χάριν*] *ἕκατι* Pap. XV | *φίλου*] *φίλων ζ* | *φίλῳ μὴ ἐκφάνῃς* Comp. I 47 | in V sequitur *ἔλπιζε δ' αὐτὸν πάλιν εἶναί σου φίλον* (cf. Comp. I 48 et Philem. fr. 233, 2 Kock)

Ὁ γράμματ᾽ εἰδὼς καὶ περισσὸν νοῦν ἔχει.
Ὁ σοφὸς ἐν αὑτῷ περιφέρει τὴν οὐσίαν.
Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενός.
Ὁ πολὺς ἄκρατος ὀλίγ᾽ ἀναγκάζει φρονεῖν.
Ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει.
Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.
Ὁ παρ᾽ ἡλικίαν νοῦς μῖσος †ἐργάζεται.
Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου.
Οὐδεὶς ὃ νοεῖς μὲν οἶδεν, ὃ δὲ ποιεῖς βλέπει.
Οἷς μὲν δίδωσιν, οἷς δ᾽ ἀφαιρεῖται τύχη.
Ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά.
Ὁ μηδὲν εἰδὼς οὐδὲν ἐξαμαρτάνει.
Οὐ δεῖ σε χαίρειν τοῖς ⟨δε⟩δυστυχηκόσι.
Ὅτ᾽ εὐτυχεῖς μάλιστα, μὴ φρόνει μέγα.
Ὅπλον μέγιστόν ἐστιν ἡ ἀρετὴ βροτοῖς.
Ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνῄσκει νέος.

568 χ ζ Γ || 569 ψ ε Γ || 570 χ γ Γ || 571 ψ δ Γ Jos || 572 χ K Γ || 573 ψ Γ || 574 B K Γ || 575 ψ υ γ U Γ Vat || 576 ψ Γ || 577 ψ Γ || 578 χ λ Γ || 579 χ Γ || 580 A || 581 χ Γ || 582 ψ Γ || 583 A Γ

568 = Pap. XIII 22—23 | cf. mon. 152, 586, 865 || 570 = Men. II fr. 341 ~ epim. 9 TGF^{2} | cf. Comp. I 238; mon. 97; Stob. 4, 34, 6 (Diphil. fr. 106 Kock) || 571 = Stob. 3, 18, 4 (Men. II fr. 512) || 572 ~ Stob. 3, 3, 18 (21) (Eurip. fr. 362, 21 TGF^{2}) || 573 = Pap. V 17 | cf. Men. Dysc. 699—700 || 575 cf. Stob. 4, 19, 6 (Men. II fr. 563); mon. 384, 565, 815; Men. Dysc. 811; flor. *ἄριστον* Nr. 20 || 577 cf. Vit. p. 102, 9 || 578 = Chaerem. fr. 29 TGF^{2} ~ Stob. 3, 20, 16 ~ Comp. I 50 || 580 cf. Stob. 4, 48, 1 (Men. II fr. 637) || 581 cf. Comp. I 256 et 258 | cf. mon. 350 || 582 cf. mon. 612, 621 || 583 = Stob. 4, 52, 27 (Men. II fr. 111) | cf. Plaut. Bacch. 816—817

569 *ἐν αὐτῷ*] *ἑαυτῷ* ε, *ἐν αὐτῷ* B | *συμφέρει* K || 570 *οὐδενός*] *ἐν οὐδενί* B Γ C_1 | *εὑρεῖν ἄθλιβον βροτοῖς βίον* D || 572 *δὲ*] *τε* Stob. | *τῶν γεραιτέρων* B et Mk. || 573 *πεπαίδευται* A || 574 *ἐξεργάζεται* Γ || 577 *τύχη*] *θεός* Σ || 578 *πολλὰ* Π Γ, *πολλοὺς* cett. et Stob. (S M A) | *δεινὰ δρᾶν ἀναγκάζει βροτούς* Stob. (cod. Ath.) et Comp. I 50 || 579 *οὐδὲν ἐξαμαρτάνει*] *οὐδ᾽ ἁμαρτάνειν λέγει* U || 580 *οὐ δεῖ σε χαίρειν* Jk., *οὐ δεῖ σ᾽ ἐπιχαίρειν* A, *οὐδεὶς ἐπιχειρεῖ* Mk. | *δεδυστυχηκόσι* Mk., *δυστυχηκόσι* A || 581 *φρόνει μέγα* Mk., *μέγα φρόνει* codd. || 583 *οἱ* Stob., *γὰρ* codd. | *θεοὶ φιλοῦσιν* Stob., *θεὸς φιλεῖ* codd.

Ὅμοια πόρνη δάκρυ⟨α⟩ καὶ ῥήτωρ ἔχει.
Οἴνῳ γὰρ ἐμποδίζεται τὸ συμφέρον.
Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.
Ὁ λόγος ἰατρὸς {ἐστι} τοῦ κατὰ ψυχὴν πάθους.
Ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός.
Οὐ χρὴ φέρειν τὰ πρόσθεν ἐν μνήμῃ κακά.
Οὐκ ἔστι πενίας μεῖζον οὐδὲν ἐν βίῳ.
Ὁ μὴ γαμῶν ἄνθρωπος οὐκ ἔχει κακά.
Ὅρκον δὲ φεῦγε, κἂν δικαίως ὀμνύῃς.
Ὀχληρός ἐστ' ἄνθρωπος ἐν νέοις γέρων.
Οὐδὲν πέπονθας δεινόν, ἂν μὴ προσποιῇ.
Ὅπου βία πάρεστιν, οὐ σθένει νόμος.
Οὐκ ἔστιν, ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
Οὐδὲν σιωπῆς ἔστι χρησιμώτερον.
Ὁ χρηστὸς ὡς ἔοικε καὶ χρηστοὺς ποιεῖ.

584 A || 585 ψ || 586 χζΓ || 587 δBΓ || 588 ψKΓ || 589 χ || 590 ψγ || 591 ψΓ Par || 592 χγΓ || 593 χΓ || 594 DΓ || 595 χλΓ || 596 BΓ || 597 χUΓ || 598 υδ

586 cf. mon. 180, 568 || 587 = Apostol. 10, 76 C | cf. Vit. p. 102, 14—15 (append. 13, 38); Men. II fr. 782; Stob. 4. 48, 23; Comp. II 194; mon. 46, 439, 445, 452, 840 || 588 = Men. II fr. 749 (Eurip. fr. 1018 TGF²) ~ Pap. II 15 || 590 = Max. Conf. 12, 47 | cf. Stob. 4, 32, 3 (Diph. fr. 104 Kock); Comp. I 39; II 24 || 591 cf. mon. 72 || 592 cf. Boiss. III p. 472; Stob. 3, 27, 1 || 594 = Stob. 4, 44, 57 (Men. I Epitr. fr. 9) || 595 cf. Publ. U 30 'ubi iudicat, qui accusat, vis non lex valet'; mon. 404 || 596 = Stob. 4, 44, 10 = Stob. 4, 41, 48 = Aristoph. Ran. 1217 = Eurip. fr. 661 TGF² | cf. Eurip. Med. 1228 || 597 = Stob. 3, 33, 2 (Men. II fr. 529) | cf. Boiss. III p. 472; flor. *ἄριστον* Nr. 112 || 598 = Men. II fr. 179 b (Boiss. I p. 158, 1)

584 *δάκρυα* Mk., *δάκρυ* A || 585 *οἴνῳ . . . συμφέρον* Th., *οἶνος γὰρ ἐμποδίζει τὸ συμφέρον* ψ || 586 *βλέπων οὐ βλέπει* F | *ὁ γραμμάτων δ' ἄπειρος ὡς τυφλὸς βλέπει* U || 587 *ἐστι* post *ἰατρὸς* del. Jk. | *πάθους*] *κακοῦ* K | *τῶν κατὰ ψυχὴν σοφοῦ* (sic) P || 588 *γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ*] *ἐν ἡμῖν μαντικώτατος* Pap. II 15 || 590 *ἐν βίῳ* Max. Conf. 12, 47, *κακόν* codd. | *μεῖζον ἐν βίῳ κακόν* My. || 592 *φεῦγε καὶ δικαίως κἀδίκως* W || 593 *ὀχληρός ἐστιν ἐν νέοις ἀνὴρ γέρων* Br. || 595 *ὅπου βία πάρεστιν*] *βίας παρούσης* Γ | *οὐ σθένει* o, *οὐδὲν ἰσχύει* cett. || 596 *πάντ' ἀνὴρ*] *πάντα νῦν* B || 597 *οὐθὲν* Stob. (SM) || 598 *καὶ χρηστὰ ποιεῖ* H

Οὐ πανταχῇ δ' ὁ φρόνιμος ἁρμόττειν δοκεῖ.
Ὀργὴ φιλούντων ὀλίγον ἰσχύει χρόνον.
Οὐπώποτ' ἐζήλωσα πολυτελῆ νεκρόν.
Οἴμοι, τὸ γὰρ ἄφνω δυστυχεῖν μανίαν ποιεῖ.
Ὁ συκοφάντης ἐστὶν ἐν πόλει λύκος.
Ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.
Ὀξὺς θεῶν ὀφθαλμὸς εἰς τὰ πάνθ' ὁρᾶν.
Ὄντας δὲ θνητοὺς θνητὰ καὶ φρονεῖν χρεών.
Οὐκ ἄξιον τὸ κλέμμα τῆς ἀγρυπνίας.
Οὐδεὶς τὸ μέλλον ἀσφαλῶς βουλεύεται.
Οὐδὲν γυναικὸς χεῖρον οὐδὲ τῆς καλῆς.
Οὐδεὶς πυρέσσων χρῆμα δοὺς ἐπαύσατο.
Οὐκ ἔστιν, ὅστις τὴν τύχην οὐ μέμφεται.
Ὅπλον μέγιστον ἐν βροτοῖς τὰ χρήματα.
Ὁ χρόνος ἐπιμελὴς γίγνεται πάντων κριτής.
Ὀργίλος ἂν οὐδεὶς εὐτυχήσει' ἐν βίῳ.
Οὐδεὶς πονηρὸν πρᾶγμα χρηστὸς ὢν ποιεῖ.

599 **ΒΓ** || **600** ***χλΓ*** || **601** ***λ*****ΒΓ** || **602** **ΒΓ** || **603** ***χγ*** || **604** ***χγ*** **UΓ** || **605** **ΒΓ** || **606** ***χ*** || **607** ***ν*** || **608** ***λ*****ΒUΓ** || **609** ***χλγ*** || **610** ***ε*** || **611** ***ζ*** || **612** ***ζ*** || **613** ***δ*** || **614** ***δ*** || **615—619** **U**

599 cf. flor. *ἄριστον* Nr. 96 || **600** = Stob. 4, 20, 20 = Pap. VI 9 (Men. II fr. 567) | cf. Ter. Andr. 555 || **601** = Stob. 4, 55, 2 (Men. I Perinth. fr. 2) | cf. Stob. 3, 16, 2 || **604** ~ Chares I 8 || **605** ~ Stob. 1, 316 (adesp. fr. 491 TGF²) | cf. Stob. 1, 3, 19 (Dionys. fr. 5 TGF²); Stob. 1, 8, 19 (adesp. fr. 510 TGF²); Stob. 1, 3, 9 (adesp. fr. 405 TGF²); mon. 225, 688 || **606** = Eurip. Alc. 799 | cf. mon. 1, 246, 336, 350 || **608** cf. adesp. fr. 102 TGF²; mon. 564; Comp. I 204 || **609** cf. mon. 197; Anthol. Graec. 11, 286, ubi 609 cum 197 coniunctum est || **612** cf. mon. 181, 582, 621 || **613** cf. Stob. 1, 8, 29 (epim. 34 TGF²); mon. 513 || **615** = Stob. 3, 37, 1 (Men. II fr. 530)

600 *φιλοῦντος λ* | *ὀλίγον* Stob. et Pap. VI 9, *μικρὸν* codd. || **603** *ἐν πόλει*] *ἐν τοῖς πέλας* W, *ὕπουλος* B || **604** *ἑταίρων καὶ φίλων* Chares I 8 || **605** *θεῶν* Stob., *θεοῦ* B | *ὁρᾶν*] *ἰδεῖν* Stob. || **606** *θνητὰ καὶ* Sn. ex Eurip. Alc. 799, *καὶ θνητὰ* codd. || **607** *κλέμμα* Ullmann ex Arabico, *βλέμμα ν* || **608** *βουλεύεται*] *ἐπίσταται λ* | *ἀσφαλὲς Γ* || **610** *πυρέσσων*] *πῦρ εἰς* Mk. | *χρῆμα δοὺς* Sn., *χρήματα διδοὺς* codd. || **612** *ἐν*] *τοῖς* U || **614** *ὀργίλος ἂν οὐδεὶς εὐτυχήσει' ἐν βίῳ* Sn., *ὀργίλος ἐν βίῳ οὐδεὶς εὐθυμήσειεν δ*, *ὀργίλος ἂν οὐδεὶς εὐτυχήσειεν βίῳ* Boiss.

Οὐκ ἔστιν οὐδὲν ἀγριώτερον φθόνου.
Οὐ παντὸς ἀνδρός ἐστ' ἐνέγκαι συμφοράν.
Οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν.
Ὅμοιον αὐτοῦ πᾶς τὸν οἰκέτην ποιεῖ.
Ὁ τῶν γεωργῶν ἡδονὴν ἔχει βίος.
Ὅπλον μέγιστόν ἐστιν ἀνθρώποις λόγος.
Ὅπου γυναῖκές εἰσι, πάντ' ἐκεῖ κακά.
Οὐκ ἔστιν οὐδὲν σεμνὸν ὡς παρρησία.
Οὐ τῇ σχολῇ δεῖ, τῷ βίῳ δ' εὐσχημονεῖν.
Ὁ βίος ἀδήλους τὰς μεταπτώσεις ἔχει.
Οὐδεὶς ποιῶν πονηρὰ λανθάνει θεόν.
Πανήγυριν νόμιζε τόνδε τὸν βίον.
Πολλοὶ μὲν εὐτυχοῦσιν, οὐ φρονοῦσι δέ.
Πράττων τὰ σαυτοῦ, μὴ τὰ τῶν ἄλλων σκόπει.
Πολλῶν ὁ καιρὸς γίγνεται διδάσκαλος.
Προπέτεια πολλοῖς ἐστιν αἰτία κακῶν.
Πλούτῳ πεποιθὼς ἄδικα μὴ πειρῶ ποιεῖν.
Πενίαν φέρειν οὐ παντός, ἀλλ' ἀνδρὸς σοφοῦ.
Πειρῶ φίλοισι μὴ κακοῖς εἶναι φίλος.

620—621 U ‖ **622** U Par ‖ **623-624** U ‖ **625—626** *υ* ‖ **627** *χε* ‖ **628** *χεγΓ* ‖ **629** *χζ* ‖ **630** *χζυΓ* ‖ **631** ΒΓ ‖ **632** ΒΓΚ ‖ **633** *λζ*ΒΓ ‖ **634** ΒΓΣ

617 cf. mon. 633 ‖ **618** = Stob. 4, 11, 8 (Men. II fr. 553) | cf. mon. 661 ‖ **619** cf. mon. 598 ‖ **620** = Stob. 4, 15, 21 (Men. II fr. 559) | cf. mon. 262 ‖ **621** cf. mon. 582, 612 ‖ **622** = Stob. 4, 22, 179 (Men. II fr. 590) | cf. mon. 203, 837 ‖ **626** ~ Comp. I 146 | cf. mon. 347, 432, 841; Comp. I 122—123 ‖ **627** cf. Stob. 4, 53, 7 (Men. II fr. 416, 8) ‖ **628** cf. Comp. I 56; mon. 74, 236, 726 ‖ **630** ~ Comp. IV 1 | cf. flor. *ἄριστον* Nr. 100 ‖ **631** cf. mon. 305 ‖ **633** = Comp. I 55 | cf. mon. 617 ‖ **634** cf. mon. 66

618 *οὐχ . . . φρονεῖν* Stob., *οὐχ αἱ τρίχες λευκαὶ ποιοῦσι φρονεῖν* U ‖ **619** *ὅμοιον . . . ποιεῖ* Nck., *ὅμοιον σαυτοῦ καὶ τὸν οἰκέτην ποίει* U ‖ **622** *ἐκεῖ* Stob., *εἰσὶ* codd. ‖ **623** *οὐκ ἔστιν οὐδὲν ἄλλο σεμνὸν ἐν πίστει* (vel *φιλίᾳ*) *ἢ λόγος* Σ (Jagic) ‖ **626** *ποιῶν πονηρὰ λανθάνει* Comp. I 146, *πονηρὰ λανθάνει ποιῶν* codd. | *θεόν*] *δίκην* Comp. I, *πράττων* Taur ‖ **628** *πολλοὶ γὰρ εὐτυχοῦσι, σωφρονοῦσι δ' οὐ* D ‖ **629** *πράττων* *ο*Σ, *πρᾶττε* cett. | *σκόπει* *ο*Σ, *φρόνει* cett. ‖ **630** *πολλῶν*] *πολλοῖς* D | *διδάσκαλος*] *παραίτιος* Γ et Comp. IV 1 ‖ **633** *πενίαν γὰρ οὐ πᾶς, ἀλλ' ἀνὴρ σοφὸς φέρει* U ‖ **634** *κακοῖς* Σ, *κακὸς* ΒΓ

Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.
Πένης ὑπάρχων μὴ φρόνει τὰ πλουσίων.
Πᾶσιν γὰρ εὖ φρονοῦσι συμμαχεῖ τύχη.
Πονηρὸν ἄνδρα μηδέπω κτήσῃ φίλον.
Πάντ' ἀνακαλύπτων ὁ χρόνος πρὸς φῶς φέρει.
Πένητας ἀργοὺς οὐ τρέφει ῥαθυμία.
Πολλοὶ τραπέζης, οὐκ ἀληθείας φίλοι.
Πολλοὶ γυναικῶν δυστυχοῦσιν εἵνεκα,
πᾶσαι γάρ εἰσιν ἀρχιτέκτονες κακῶν.
Πλάνη βίον τίθησι σωφρονέστερον.
Πενία δ' ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ.
Πολλοὺς ὁ καιρὸς ἄνδρας οὐκ ὄντας ποιεῖ.
Πατὴρ ὁ θρέψας κοὐχ ὁ γεννήσας πατήρ.
Πρὸς εὖ λέγοντας οὐδὲν ἀντειπεῖν ἔχω.
Πίστις γὰρ ἀνδρῶν τιμιωτέρα λόγου.
Παντὶ βροτῷ θνήσκοντι πᾶσα γῆ τάφος.
Πολλοὶ μαθηταὶ κρείττονες διδασκάλων.
Πολλοὺς κακῶς πράσσοντας ὤρθωσεν τύχη.

635 *χζΓ* ‖ **636** *χζ* ‖ **637** *χγΓ* ‖ **638** *χεγυΓ* Vat ‖ **639** *γ*B*Γ* ‖ **640** *χγΓ* ‖ **641** *ζ*B*Γ* ‖ **642** *χζΓ* Par ‖ **643** U ‖ **644** *υΓ* ‖ **645** *ε*B*Γ* ‖ **646** *χεΓ* ‖ **647** *χζ*W*Γ* ‖ **648** *ολΓ* ‖ **649** C_1 ‖ **650** *ο* ‖ **651** *ο* ‖ **652** *χζΓ*

635 = Stob. 4, 26, 14 (Chaerem. fr. 35 TGF²) ‖ **636** cf. Comp. I 202; mon. 680 ‖ **637** ~ Stob. 2, 8, 4 (Eurip. fr. 598 TGF²) ‖ **639** ~ Stob. 1, 8, 1 (Soph. fr. 832 TGF²); Vit. p. 102, 17 (append. 13, 42); Philem. fr. 192 Kock; mon. 13, 839 ‖ **641** cf. mon. 682 ‖ **642** = Pap. I 38 ‖ **643** cf. Eurip. Med. 408—409 ‖ **644** cf. mon. 23, 646, 677 ‖ **645** = Comp. I 61 | cf. Eurip. Electra 37—38 ‖ **646** cf. mon. 23, 644 ‖ **647** cf. Eurip. Iph. Taur. 360, 499 ‖ **649** cf. mon. 175 ‖ **651** = adesp. fr. 107 TGF²

635 *χρηστὸν πατὴρ οὐκ ἔχει* U ‖ **636** *τὰ πλούσια υ* ‖ **637** *πᾶσιν γὰρ] ὡς τοῖσιν* Stob. | *τύχη] τέχνη* W, *ψυχή* Stob. (FP) ‖ **638** *μηδέπω] μηδέποτε Γ* Taur, *μήποτε* SK Vat 742 | *κτήσῃ] ποίει* B, *ποιοῦ Γεγ* ‖ **639** *πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς ⟨τὸ⟩ φῶς ἄγει* (*τὸ* add. Grot.) Stob. ‖ **641** *πολλῆς Γ* | *οὐκ ἀληθείας Γ, οὐκ ὠφελείας εἰσὶ* B, *οὐκ αὐταρκίας εἰσὶ δ, ἀλλ' οὐκ ἀνάγκης* U ‖ **646** *ὁ καιρὸς οὐκ ὄντας ποιεῖ φίλους δ* ‖ **647** *κοὐχ* Pap. II 16, *καὶ οὐχ ζΣ, οὐχ* cett. | *πατήρ* (in fine)] *μόνον* UΣ | *πατὴρ ὁ θρέψας μετὰ τοῦ φύσει πατρός* B, *πατὴρ οὐχ ὁ γεννήσας, ἀλλ' ὁ θρέψας σὲ πατήρ* W ‖ **652** *πράξαντας ζ* | *ὤρθωσ' ἡ τύχη* H

Πολυπραγμονεῖν τἀλλότρια μὴ βούλου κακά.
Ποθητός ἐστι πᾶς τις εὐπροσήγορος.
Πονηρός ἐστ' ἄνθρωπος πᾶς τις †ἀχάριστος.
Πενίαν φέρειν καὶ γῆράς ἐστι δύσκολον.
Πειρῶ τύχης ἄνοιαν ἀνδρείως φέρειν.
Πολλοὶ σχολὴν ἄγουσιν εἰς τὰ χείρονα.
Πολλῶν ἰατρῶν εἴσοδός μ' ἀπώλεσεν.
Πενίας βαρύτερον οὐδέν ἐστι φορτίον.
Πολιὰ χρόνου μήνυσις, οὐ φρονήσεως.
Πάντως γὰρ ὁ σοφὸς εὐτελείας ἀνέχεται.
Πολλοῖς κακοῖσιν ἡ τύχη παρίσταται.
Πάσας Προμηθεὺς τὰς γυναῖκας ἔπλασεν | κακάς.
Πλὴν τῆς τεκούσης μὴ φιλεῖν ἄλλην θέλε.
Πολλὴ γάρ ἐστι τῶν γυναικῶν ἡ βλάβη.
Πατὴρ ἁπάντων καὶ τροφὸς θεὸς πέλει.
Πολλοὺς τρέφειν εἴωθε τἀδικήματα.
Πόλεις ὅλας ἠφάνισε διαβολὴ κακή.
Πολλοὺς ὁ πόλεμος δι' ὀλίγους ἀπώλεσεν.
Πονηρὸς †ἀνὴρ χρηστὸς οὐκ{ἐτ'} ἔσται ποτέ.

653 *χδυΓ* || **654** *χ*W || **655** *νγ* || **656** *γ*B*Γ* || **657** *χΓ* || **658** *χΓ* || **659** B*Γ* || **660** *ζ*B*Γ* || **661** *δ*B*Γ* || **662** W || **663** *ζ* || **664** K || **665—667** U || **668** *ε* || **669** *δ* || **670** *ε* || **671—673** K

653 cf. flor. *ἄριστον* Nr. 127 || **655** cf. Men. II, p. 293 ad fr. 479 || **657** = Stob. 4, 44, 5 (Men. II fr. 632) | cf. Soph. fr. 296 TGF²; mon. 223, 392 || **658** cf. mon. 875 || **659** cf. Eurip. Androm. 930 || **660** cf. Comp. I 39 || **661** cf. mon. 618; Publ. S 7 'sensus non aetas invenit sapientiam' || **663** cf. mon. 335; Comp. I 36 || **664** cf. Men. II fr. 718, 2—5 || **665** cf. Stob. 4, 22, 146 (Eurip. fr. 498 TGF²) || **667** cf. append. 12, 6; mon. 511

653 *τἀλλότρια* B, *τὰ ἀλλότρια δ*, *ἀλλότρια* cett. || **655** *ἀχάριστος*] *ἄχρηστος γ*, *ἀχάριτος* Erbse || **657** *ἄνοιαν* Stob., *ἄγνοιαν* codd. | *ἀνδρείως* Stob., *εὐχερῶς Γ*, *γενναίως* cett. || **660** *πενίας . . . φορτίον* Mk., *οὐδὲν πενίας βαρύτερόν ἐστι φορτίον Γ*, *πενίας οὐδέν ἐστι βαρύτερον φορτίον ε* || **662** *σοφὸς* Mk., *σώφρων* W || **663** *πολλοῖς ἀδίκοις δ* || **664** *πάσας . . . κακάς* Sn., *πάσας γυναῖκας Προμηθεὺς ἔπλασε κακάς* K || **665** *φιλεῖν* Pr., *λαλεῖν* U || **671** *ἀνὴρ πονηρὸς* Th. (sic erat; cf. mon. 797) | {*ἐτ'*} Sn. | *πονηρὸς ἂν τις χρηστὸς οὐκ εἴη ποτέ* Erbse

Πολλὰς μεταβολὰς ὁ βίος ἡμῶν λαμβάνει.
Προσέχων ὅδευε τὴν βίου ⟨μακρὰν⟩ ὁδόν.
†Πατέρα τίμα. τὴν δὲ τεκοῦσαν σέβου.†
Πειρῶ βλάβην σὺ μᾶλλον ἢ δίκας ἔχειν.
Πρόνοιαν ἀγαθοῦ πανταχοῦ ποιοῦ, φίλος.
Πλάναισι †τὸ ζῆν πᾶς διοικεῖται βίος.
Πολλοί σε μισήσουσιν, ἂν σαυτὸν φιλῇς.
Πονηρὸν ἐστι καὶ ἄδικον γένος φθόνος.
Πλούσιος ὑπάρχων μὴ φρόνει† ὑπὲρ μέτρον.
Πολλοὶ κακῶς πράττουσιν οὐκ ὄντες κακοί.
Πολλοὶ τραπεζῶν, οὐ φίλων εἰσὶν φίλοι.
Πλούτου γὰρ ἀρετήν, δόξαν ἐξ αὐτῆς ποίει.
Πλούτου πλέον πέφυκεν ἀρετὴ βροτοῖς.
Περὶ χρημάτων λαλεῖς, ἀβεβαίου πράγματος.
Πρὸς τὴν ἀνάγκην οὐδὲ εἷς ἀνθίσταται.
Πενόμενον {ἐ}ὰν ἴδωσι{ν}, κάμπτουσιν φίλοι.
Πάντῃ γάρ ἐστι πάντα τε βλέπει θεός.

674 U · 675 r U || 676 K || 677—678 U || 679 K || 680 δ || 681 ζ || 682 ζ || 683—687 K || 688 Γ

672 cf. mon. 745 || 674 cf. append. 6, 2; mon. 113, 322, 352, 525, 526 || 677 cf. append. 1, 61; Eurip. Heraclid. 878; fr. 659, 8 TGF²; mon. 644 || 678 ~ adesp. fr. 180 TGF² | cf. mon. 431, 778, 807 || 679 cf. mon. 77 || 680 cf. mon. 336, 636 || 681 cf. Eurip. Hel. 464; Comp. I 56; mon. 236, 628 || 682 cf. mon. 641 || 685 = Stob. 3, 16, 14, 1 (Men. Dysc. 797) | cf. mon. 612 || 687 cf. Eurip. fr. 462 TGF² || 688 cf. Stob. 1, 1, 16 (~ adesp. fr. 480 TGF²); Stob. 1, 3, 9 et 19; Stob. 1, 8, 19; mon. 225, 605

673 add. Sn. || 674 *τὸν πατέρα τίμα· τὴν τεκοῦσαν εὖ σέβου* Gp. (cf. append. 6, 2) | *προτίμα* Sn. || 675 *ἢ δίκην ἔχειν* Tuur, *ἢ δίκην λέγειν* v || 676 *ποιεῖ φίλος* Erbse || 677 *πλάναισι πολλαῖς πᾶς διοίχεται βίος* Erbse, *πλάναισι δ' ὁ ξύμπας διοίχεται βίος* My. || 678 *ἂν*] *ἦν* adesp. fr. 180 TGF² || 679 *ὁ* ante *φθόνος* del. Sn. || 680 *φρόνει μεῖζον μέτρου* Erbse || 681 *πολλοὶ κακὸν πράττοντες οὐ εἰσὶ κακοί* K || 682 *πολλοὶ . . . φίλοι* Jk., *πολλοὶ τραπεζῶν καὶ οὐ φίλοι εἰσὶ φίλων* δ, *πολλοὶ τραπέζης εἰσὶν ἢ φίλων φίλοι* U || 683 *ποίει* Jk., *ποιεῖ* K || 684 *ἀρετὴ* Sn., *ἀρετὴ* K || 685 *λαλεῖς* Stob. et Men. Dysc. 797, *μὴ σπούδαζε* K || 686 *οὐδὲ εἷς* Th., *οὐδεὶς οὐδ'* K || 687 del. Sn.

Ῥοπὴ 'στιν ἡμῶν ὁ βίος, ὥσπερ ὁ ζυγός.
Ῥῆμα παρὰ καιρὸν ῥηθὲν ἀνατρέπει βίον.
Ῥέγχει παρούσης τῆς τύχης τὰ πράγματα.
Ῥίψας λόγον τις οὐκ ἀναιρεῖται πάλιν.
Ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν.
Ῥήτωρ πονηρὸς τοὺς νόμους λυμαίνεται.
Ῥᾳθυμία 'στὶ τοῦ βίου παντὸς φθορά.
Ῥᾳθυμίαν γὰρ φεῦγε καὶ κακοὺς φίλους.
Ῥᾳθυμίαν δ' ἅπασαν ἐκτρέπου, φίλε.
Ῥᾴθυμος ἐὰν ᾖς πλούσιος, πένης ἔσῃ.
Ῥᾳθυμία γε τὰ πόλλ' ἐλαττοῦσθαι ποιεῖ.
Ῥᾷον βίον ζῇς, ἢν γυναῖκα μὴ τρέφῃς.
Ῥύου δὲ σαυτὸν παντὸς ἐκ φαύλου τρόπου.
Ῥύπος γυνὴ πέφυκεν ἠργυρωμένος.
Ῥυπαρὸς ὑπάρχων χρηστὸν οὐχ ἕξεις φίλον.
Σύμβουλος ἐσθλός, μὴ κακὸς γίνου φίλοις.
Σοφοῦ παρ' ἀνδρὸς προσδέχου συμβουλίαν.
Σοφία γάρ ἐστι καὶ μαθεῖν ὃ μὴ νοεῖς.
Σοφία σοφῶν γὰρ γίγνεται συμβουλία.

689 *ε* ‖ **690** *εγ*B*Γ* ‖ **691** B*Γ* ‖ **892** *οδΓ* ‖ **693** *χδλυΓ* ‖ **694** *χΓ* ‖ **695** *ζ* ‖ **696** *ζ* ‖ **697** U ‖ **698** *χδλΓ* ‖ **699** *δ* ‖ **700** *γΓ* Par ‖ **701** *χλυ* Vat ‖ **702** *χγυΓ* ‖ **703** *υ* ‖ **704** *χΓ* Vat ‖ **705** *χζυγΓ* ‖ **706** *ε*B*Γ* ‖ **707** *χεΓ*

689 = Pap. XIII 24–25 ‖ **692** cf. Hor. epist. 1, 18, 71 ‖ **693** = Stob. 4, 49, 6 = Eurip. Alc. 1078 ‖ **694** cf. Stob. 3, 37, 15 (Eurip. fr. 597 TGF²); mon. 845 ‖ **698** = Pap. II 17 ~ Pap. IV 8 ‖ **700** cf. mon. 118 ‖ **702** cf. cod. P fol. 161 (inter apophthegmata) *'Φιλίππου βασιλέως· ὁ αὐτὸς τὸν πλούσιον καὶ ἀπαίδευτον ἔφησε ῥύπον εἶναι περιηργυρωμένον.'* ‖ **704** cf. mon. 724 ‖ **705** = Pap. XI 1 | cf. mon. 713, 718; Boiss. III p. 472

689 *ἡμῶν ὁ βίος* Mk., *ὁ βίος ἡμῶν* codd. ‖ **694** *νόμους* B, *λόγους* DH, *τοῖς νόμοις Γ* ‖ **695** *ῥᾳθυμίαν δὲ ὅτι τοῦ βίου ἡμῶν φθορά* K | *ῥᾳθυμία 'στὶ* My., *ῥᾳθυμί' ἐστὶ* U ‖ **698** *ἐὰν* Pap. II 17 et Pap. IV 8 et *δ*, *ἂν* cett. | *ἐὰν ᾖς*] *ὢν σὺ ΓΣ* | *ᾖς*] *ἔσῃ* Pap. II | *πλούσιος*] *Φανία* Pap. IV ‖ **699** *πόλλ'* Mk., *πολλὰ* codd. ‖ **700** *γυναῖκα μὴ τρέφῃς Γ*, *γυναικὸς ἀπέχῃ* cett. ‖ **702** *ἠργυρώμενος τ*, *ἠργυρωμένη* cett. ‖ **704** *φίλοις*] *φίλος ο* ‖ **705** *παρ'*] *γὰρ* UP, *δὲ* K | *προσδέχου*] *εὐλαβοῦ ζ* | *συμβουλίας* UPD ‖ **706** *σοφίαν ἄσκει καὶ μαθήσῃ ἃ μὴ νοεῖς ε* ‖ **707** *σοφία ε*, *σοφὴ* cett.

Στρέφει δὲ πάντα τὰν βίῳ μικρὰ τύχη.
Σιγὴ ποτ' ἐστὶν αἱρετωτέρα λόγου.
Σιγᾶν ἄμεινον ἢ λαλεῖν ἃ μὴ πρέπει.
Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον.
Σοφὸς γὰρ οὐδεὶς ὃς τὰ πάντα προσκοπ(τ)εῖ.
Σοφοῦ παρ' ἀνδρὸς πρῶτος εὑρέθη λόγος.
Σύμβουλος οὐδείς ἐστι βελτίων χρόνου.
Σοφία δὲ πλούτου κτῆμα τιμιώτερον.
Σὺν τοῖς φίλοισιν εὐτυχεῖν ἀεὶ θέλε.
Σωτηρίας σημεῖον ἥμερος τρόπος.
Σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν.
Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.
Στῦλοι γὰρ οἴκων παῖδές εἰσιν ἄρσενες.
Στερρῶς φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.
Συζῆν κακοῖσι μη⟨δὲ⟩ πειρῶ τὸ σύνολον.
Σέβου τὸ θεῖον, μὴ ἐξετάζων πῶς ἔχει.
Σύμβουλος ἀγαθῶν, μὴ κακῶν εἶναι θέλε.

708 BΓ ‖ **709** χγΓ ‖ **710** χζγυ ‖ **711** ζυDΓ ‖ **712** γBΓ ‖ **713** γBUΓ ‖ **714** νλΓ ‖ **715** ελΓ ‖ **716** γD ‖ **717** χζγΓ ‖ **718** χγUΓ ‖ **719** χΓ ‖ **720** BΓ ‖ **721** χλΓ ‖ **722** ζ ‖ **723** ε ‖ **724** δΓ

708 cf. Stob. 1, 6, 15 (Chaerem. fr. 19 TGF²) ‖ **710** cf. Eurip. Troiad. 384; Comp. I 129; mon. 258, 292, 409, 521, 709 ‖ **711** cf. Comp. I 111; mon. 215 ‖ **713** cf. mon. 705 ‖ **715** cf. mon. 565, 731 ‖ **716** cf. Vit. p. 101, 35—36 ‖ **718** = Eurip. Rhes. 206 | cf. mon. 705, 713 ‖ **719** = Stob. 4, 45, 8 (Eurip. fr. 683 TGF²) ‖ **720** = Eurip. Iph. Taur. 57 ‖ **721** ∼ Stob. 4, 44, 48 (Eurip. fr. 98 TGF²) | cf. Stob. 4, 44, 22 (Antiph. fr. 281 Kock); mon. 223, 392 ‖ **722** cf. mon. 25, 423 ‖ **723** cf. mon. 321 ‖ **724** cf. mon. 704

709 *ἐστὶ βελτιωτέρα λόγου* H, *ἐστὶ βελτίων πλείστων λόγων* D ‖ **710** *ἃ*] *ὃ γ* | *ἃ μὴ πρέπει*] *ἃ μὴ θέμις χ* et Comp. I 129 ‖ **711** *σαυτὸν γίνωσκε* Vat 742 ‖ **712** *ὃς* BΓ, *εἱς* cett. | *προσκοπεῖ* Mk., *προσκόπτει* codd. ‖ **713** *σοφοῦ παρ' ἀνδρὸς* U, *σοφῷ παρ' ἀνδρὶ* cett. ‖ **715** *κτῆμα*] *χρῆμα λ* ‖ **718** *σοφοῦ*] *χρηστοῦ γ* | *χρὴ σοφόν τι μανθάνειν*] *χρήσιμόν τι μανθάνειν* D, *μανθάνειν χρηστὸν θέλε* U ‖ **720** *στῦλος γὰρ οἴκου Γ* ‖ **721** *στερρῶς*] *ἀλλ' εὖ* Stob. | *χρὴ*] *δεῖ* H | *συμφορὰν Γχ* ‖ **722** *μη⟨δὲ⟩* Mk. ‖ **723** *μὴ ἐξετάζων*] *μὴ 'ξετάζων* Mk. ‖ **724** *σύμβουλος ἴσθι τῶν ἀγαθῶν μὴ τῶν κακῶν Γ*

Τῶν δυστυχούντων εὐτυχὴς οὐδεὶς φίλος.
Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.
Τῆς ἐπιμελείας πάντα δοῦλα γίγνεται.
Τὰ μικρὰ κέρδη μείζονας βλάβας φέρει.
Τὸ κέρδος ἡγοῦ κέρδος, ἂν δίκαιον ᾖ.
Τὴν τῶν κρατούντων μάθε φέρειν ἐξουσίαν.
Τρόπος δίκαιος κτῆμα τιμιώτατον.
Τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία.
Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.
Τάχισθ' ὁ καιρὸς μεταφέρει τὰ πράγματα.
Τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
Τὸ μηδὲν εἰκῇ πανταχοῦ 'στι χρήσιμον.
Τὸ πολλὰ πράττειν ἐστὶ πανταχοῦ σαπρόν.
Ταὐτόματον ἡμῶν καλλίω βουλεύεται.
Τὸν εὖ ποιοῦνθ' ἕκαστος ἡδέως ὁρᾷ.
Τύχη τέχνην ὤρθωσεν, οὐ τέχνη τύχην.

725 χζγΓ Jos || **726** ζγBΓ || **727** εBΓ || **728** χζΓ || **729** χγυΓ || **730** ζBΓ || **731** ζBΓ || **732** χΓ || **733** χλUΓ || **734** BΓ || **735** χUΓ || **736** BΓ || **737** BΓ || **738** BΓ || **739** ζλ || **740** χζγΓ

725 cf. Apostol. 17, 45 A; Comp. I 166; mon. 748, 754, 854; Eurip. Herc. 559, 561 || **726** = Stob. 1, 6, 12 (Eurip. fr. 1017 TGF²) = Pap. XVIII Col. 1, 3 | cf. Eurip. Heracl. 746–747; Quint. 6, 3, 97 'felicitas est quam vocant sapientiam'; mon. 628 || **727** ~ Stob. 3, 29, 51 (Antiph. fr. 290 Kock) | cf. mon. 766 || **728** cf. Stob. 3, 10, 22 (Antiph. fr. 270 Kock); mon. 245 || **729** cf. Soph. fr. 738 TGF²; mon. 405, 422, 728, 755 || **730** cf. Eurip. Phoen. 393 || **731** = Stob. 3, 37, 13 (Antiph. fr. 291 Kock) | cf. mon. 565, 715 || **732** = Stob. 1, 6, 7 (Chaerem. fr. 2 TGF²) | cf. Publ. F 27 'fortuna in homine plus quam consilium valet'; mon. 481, 504 || **733** = Stob. 4, 31, 27, 1 (Soph. fr. 85 TGF²) | cf. Eurip. Phoen. 439 || **734** cf. mon. 382; Comp. I 30 et 255 || **735** = adesp. fr. 318 TGF² | cf. Pap. XIV 6 || **736** cf. mon. 762 || **737** cf. Eurip. Hippol. 785; mon. 750 || **739** cf. mon. 47, 407 || **740** cf. Agath. fr. 6 TGF²

725 *εὐτυχής*] *εὐγενής* λ, *δυστυχής* F | *φίλος*] *βίος* F | in C_1 mon. 754 post mon. 725, qui vss. olim coniuncti esse videntur || **726** *εὐτυχοῦντα*] *εὖ πραγοῦντα* γ || **727** *δοῦλα πάντα* Stob. || **728** *μείζονας βλάβας*] *μεγάλας ζημίας* ε || **730** *δεῖ φέρειν ἀγροικίαν* U | Σ = Eurip. Phoen. 393 || **731** *δικαίων* P | *τιμιώτερον* P || **732** *τύχης . . . εὐβουλίας* ΓΣ || **735** *τῷ καλῶς πράσσοντι πᾶς τις ὑπείκει* U || **739** *εὖ ποιοῦνθ'* U, *εὐποιοῦντα* δ, *εὐποροῦνθ'* cett. | *ἡδέως ὁρᾷ*] *βλέπει καλῶς* U || **740** *πόνος τέχνην ὤρθωσεν οὐ τέχνη πόνον* U

Τυφλὸν δὲ καὶ δύστηνον ἀνθρώποις βίος.
Τὸ γὰρ θανεῖν οὐκ αἰσχρόν, ἀλλ' αἰσχρῶς θανεῖν.
Τέθνηκ' ἐν ἀνθρώποισιν πᾶσα ⟨γὰρ⟩ χάρις.
Ταμιεῖον ἀρετῆς ἐστιν ἡ σώφρων γυνή.
Τὰ θνητὰ πάντα μεταβολὰς πολλὰς ἔχει.
Τοὺς τῆς φύσεως οὐκ ἔστι μανθάνειν νόμους.
Τὸν αὐτὸν αἰνεῖν καὶ ψέγειν ἀνδρὸς κακοῦ.
Τῶν εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.
Τὸ ζῆν ἀλύπως ἐστὶν ἥδιστος βίος.
Τὸ πολλὰ πράττειν †πολλὰς καὶ λύπας ἔχει.
Τἀληθὲς ἀνθρώποισιν οὐχ εὑρίσκεται.
Τῶν γὰρ πενήτων εἰσὶν οἱ λόγοι κενοί.
Τιμώμενοι γὰρ πάντες ἥδονται βροτοί.
Τῶν εὐτυχούντων πάντες ἄνθρωποι φίλοι.
Τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.

741 *ο Γ* ‖ **742** *γ* B*Γ* ‖ **743** W ‖ **744** *δ* W*Γ* ‖ **745** *λ* B*Γ* ‖ **746** *λ* B ‖ **747** *ζ γ* B*Γ* ‖ **748** *λ* B*Γ* ‖ **749** *χ Γ* ‖ **750** B*Γ* ‖ **751** *λ* ‖ **752** *χ λ Γ* ‖ **753** *λ* B*Γ* ‖ **754** BW*Γ* ‖ **755** *υ* B*Γ*

741 ~ Stob. 4, 34, 10 (Men. II fr. 621) ~ Stob. 1, 7, 3 (Men. II fr. 463) ‖ **742** cf. adesp. fr. 88 TGF²; mon. 410 ‖ **743** cf. mon. 42—43, 477 ‖ **744** = Men. II fr. 493 ~ Stob. 4, 22, 4 (Alexandros fr. 5 Kock) ~ Stob. 3, 5, 5 ‖ **745** cf. Stob. 4, 41, 45 (Eurip. fr. 549 TGF²) | cf. Stob. 4, 41, 4 (Alexis fr. 34 Kock); Stob. 1, 7, 2 (epim. 14 TGF²); mon. 255, 672 ‖ **747** = Apostol. 17, 20 G ‖ **748** cf. mon. 725, 754, 854 ‖ **749** cf. mon. 65, 97, 757 ‖ **750** cf. Eurip. Hippol. 785; Stob. 4, 16, 13; mon. 737, 774 ‖ **752** cf. mon. 426; Comp. I 236; II 23 et 32 ‖ **753** cf. Eurip. Hippol. 8; adesp. fr. 172 TGF² ‖ **754** cf. mon. 725, 748, 854 ‖ **755** cf. Soph. Antig. 326; mon. 422, 728; Comp. I 158

741 *τυφλὸς δὲ καὶ δύστηνος* F | *δὲ*] *γε* Stob. | *ἀνθρώπου βίος* Stob. 4, 34, *ἔστιν ἡ τύχη* Stob. 1, 7 | *βίος*] *τύχη* Mk. ‖ **743** *τέθνηκ' ἐν* Mk., *τέθνηκεν* W | *πᾶσα ⟨γὰρ⟩ χάρις* Mtt., *ἅπασα χάρις* codd., *πᾶσιν ἡ χάρις* Mk. ‖ **744** *ταμιεῖον* Stob. 3, 5, *ταμεῖον* Stob. 4, 22 et codd. | *ἔστιν ἀρετῆς* Stob. 3, 5 | *ἡ σώφρων γυνή* Mk., *ἡ σωφροσύνη* Stob. 3, 5, *γενναία γυνή* Stob. 4, 22, *τὸ σωφρονεῖν καλῶς δ*, *σωφροσύνη μόνη* cett. ‖ **746** *μανθάνειν* Nck., *μαθεῖν* B, *λαθεῖν* cett., *καταμαθεῖν* Mk. ‖ **747** *αἰνεῖν* UR*Γ*, *ἐπαινεῖν* cett. | *ἀνδρὸς κακοῦ*] *οὐ χρηστοῦ πρὸς ἀνδρός λ*, *οὐκ ἀνδρὸς σοφοῦ* W*Σ* ‖ **749** *ἄλυπον* D ‖ **750** *πολλὰς καὶ λύπας*] *κὠδύνας πολλὰς* Grot., *πολλάκις λύπας* My. ‖ **754** *γὰρ πάντες* W ‖ **755** *συμφορὰν* Coll et Vat 742

Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.
Τὸ ζῆν ἀλύπως ἀνδρός ἐστιν εὐτυχοῦς.
Τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα.
Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ.
Τερπνὸν κακὸν πέφυκεν ἀνθρώποις γυνή.
Τὸ γὰρ τρέφον με τοῦτ' ἐγὼ κρίνω θεόν.
Τὸ γνῶθι σαυτὸν πᾶσι{ν} χρήσιμον πέλει.
Τὸ γὰρ φύσει πεφυκὸς οὐ μεθίσταται.
Τὸν δεινὰ δρῶντα καὶ παθεῖν κακῶς μένει.
Τὸ μὴ δικαίως εὐσεβεῖν φέρει ψόγον.
Τὴν ἐπιμέλειαν παντὸς ἡγοῦ κυρίαν.
Τὸ μηδὲν ἀδικεῖν καὶ καλοὺς ἡμᾶς ποιεῖ.
Τὸν ἐλεύθερον δεῖ πανταχοῦ φρονεῖν μέγα.
Τύχην ἔχεις, κάθευδε, μὴ λίαν πόνει,
εἰ δ' οὐκ ἔχεις, κάθευδε, μὴ μάτην πόνει.
Τὸ ψεῦδος ὠχύρωκε τὴν πονηρίαν.
Τοῦ ζῆν τὸ μὴ ζῆν ἐστιν αἱρετώτερον.

756 *γ*U || **757** KW*Γ* || **758** *o*W || **759** *γ*B*Γ* || **760** *χζΓ* || **761** *εΓ* || **762** *υζΓ* || **763** K || **764—765** U || **766** *δ* || **767—768** K || **769—771** U || **772** U

756 = Stob. 4, 16, 1 (Aesch. Prom. 44); mon. 504, 769—770; Comp. II 22 || **757** cf. mon. 65, 97, 749 || **758** = Stob. 2, 8, 11 (Eurip. fr. 1026 TGF²) | cf. mon. 70 || **759** = Comp. I 110 | cf. Publ. A 11 'alienum aes homini ingenuo acerba est servitus'; mon. 45 || **761** = Stob. 4, 15, 3, 4 (Men. II fr. 1, 4) || **762** cf. Stob. 3, 21, 5 (Men. II fr. 203); mon. 736 || **764** cf. Stob. 1, 3, 24 (Aesch. fr. 665 Mette); Soph. fr. 209 et 877 TGF²; Aesch. Agam. 177, Choeph. 313, Eumen. 868 || **765** cf. Stob. 3, 16, 8 (Men. II fr. 510) || **766** cf. mon. 727 || **767** = Men. II fr. 790, 3 (Stob. 2, 7, 13 Wachsm. p. 124, 12) | cf. Stob. 3, 9, 19 (Men. II fr. 398); Stob. 3, 9, 9 (Men. II fr. 498); Stob. 3, 9, 18 (Men. I Cith. fr. 4); mon. 182 || **768** = Pap. II 19 ~ Stob. 4, 29, 60 ~ Men. I Heros fr. 2 || **769—770** cf. Men. fr. 1101 Kock || **772** cf. Stob. 4, 53, 14; mon. 276, 415; Comp. I 10

759 *τὰ δάνεια*] *τὰ δ' ἄγαν* W || **760** *ἀνθρώποις*] *ἀνδράσι* U Bav *Γ*₁ || **761** *γὰρ Γ* et Stob., *δὴ ε* | *κρίνω Γ* et Stob., *λέγω ε* || **762** *πᾶσιν χρήσιμον πέλει* U, *πάντων ἐστὶν χρήσιμον δ*, *πανταχοῦ 'στι χρήσιμον* B*Γ*, *πᾶσίν ἐστι χρήσιμον* cett. | *πᾶσι* Jk., *πᾶσιν* codd. || **766** *τὴν ἐμμέλειαν* K || **767** *μηδὲν* Stob., *μηδένα* K | *καὶ* Stob., om. K || **768** *δεῖ* Pap. II 19, *ἀεὶ* K, *δὲ* Men. I Heros fr. 2, *δὲ δεῖ* Stob. || **771** ante hunc versum U habet append. 5, 2

Τὸν καιρὸν εὔχου πάντοθ' ἵλεων ἔχειν.
Τὸ πολλὰ τολμᾶν πόλλ' ἁμαρτάνειν ποιεῖ.
Τοῦτ' ἐστὶ τὸ ζῆν μὴ σεαυτῷ ζῆν μόνον.
Τρισάθλιος γυναικὶ πιστεύων ⟨ἀνήρ.⟩
Ὑφ' ἡδονῆς ⟨ὁ⟩ φρόνιμος οὐχ ἁλίσκεται.
Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμιον.
Ὑγίεια καὶ νοῦς ἀγαθὰ τῷ βίῳ πέλει.
Ὑπόνοια δεινόν ἐστιν ἀνθρώποις κακόν.
Ὑπὲρ εὐσεβείας καὶ λάλει καὶ μάνθανε.
Ὕπνος θανάτου γὰρ προμελέτησις τυγχάνει.
Ὕπνος δὲ πάσης ἐστὶν ὑγίεια νόσου.
Ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.
Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ.
Ὑπὸ τῆς ἀνάγκης πολλὰ γίγνεται κακά.
Ὑπερήφανον πρᾶγμ' ἐστὶν ὡραία γυνή.
Υἱῷ μέγιστον ἀγαθόν ⟨ἐστ'⟩ ἔμφρων πατήρ.
Ὕπνος πέφυκε σωμάτων σωτηρία.
Ὕπνος δὲ πεῖναν τὴν κατ' ἔσχατον δαμᾷ.
Ὑπὲρ σεαυτοῦ καὶ φίλου μάχου πάνυ.

773 Γ ‖ 774 Γ ‖ 775 υ ‖ 776 Par ‖ 777 χζλυ ‖ 778 εΒΓ ‖ 779 ζλΒΓ ‖ 780 ΒWΓ ‖ 781 δγυΒΓ ‖ 782 γΒΓ ‖ 783 γΒΓ ‖ 784 Γ ‖ 785 ΒΓ ‖ 786 γΒΓ ‖ 787 ΒΚΓ ‖ 788 γ ‖ 789 χεγΓ ‖ 790 Γ ‖ 791 ο Vat

774 cf. flor. ἄριστον Nr. 117; Stob. 4, 16, 13 (Eurip. fr. 576 TGF²) ‖ 775 ~ Stob. 4, 53, 4, 2 (Men. II fr. 646) ‖ 777 cf. flor. ἄριστον Nr. 130; Boiss. III p. 473 ‖ 778 cf. flor. ἄριστον Nr. 128; mon. 431, 678, 807 ‖ 779 cf. Apostol. 17, 48 F ‖ 781 cf. flor. ἄριστον Nr. 129; mon. 94, 397 ‖ 782 cf. mon. 76, 784 ‖ 784 cf. Plut. cons. ad Apoll. 12, p. 107 e (p. 331 Hutten); mon. 782 ‖ 785 cf. mon. 23, 686, 786 ‖ 787 cf. mon. 760 ‖ 789 cf. mon. 783 ‖ 791 cf. mon. 219, 370, 796; append. 12, 1

775 μὴ σεαυτῷ] οὐχ ἑαυτῷ Stob. | μόνον Stob. Taur, μόνῳ cett. ‖ 776 ἀνήρ add. Boiss. ‖ 777 ὁ add. Boiss. | ἀναλίσκεται V ‖ 778 ἐγκώμια ΒΓ ‖ 779 ἀγαθὰ] ἐσθλὰ ΒΓλ | πέλει Β, δύο cett. ‖ 780 ὕπνος δεινὸν ἀνθρώποισι κακόν W ‖ 782 γὰρ προμελέτησις τυγχάνει Γ, γὰρ om. cett., πέλει cett. ‖ 783 πᾶσιν ΒΓ | νόσου] βίου ΒΓ ‖ 786 γίγνεται] ποιοῦμεν ΒΓ ‖ 787 πρᾶγμα ἡ σώφρων γυνή Β (cf. mon. 744) ‖ 788 ἐστ' add. Mk. | ἔμφρων] εὔφρων Mk. | ἀγαθὸν εὖ φρονῶν πατήρ Nck. ‖ 789 σώματος χΓ, ἀνθρώπων V

Ὕβριν δὲ τίκτει πλοῦτος ἢ φειδὼ βίου.
Ὕφασμ᾽ ὑφαίνειν μάνθανε στροφὰς λόγων.
Ὑπερηφανία μέγιστον ἀνθρώποις κακόν.
Ὕβρις κακὸν μέγιστον ἀνθρώποις ἔφυ.
Ὑπὲρ γυναικὸς καὶ φίλου πονητέον.
Ὕπουλος †ἀνὴρ δίκτυον κεκρυμμένον.
Ὕδωρ θαλάσσης ὁ τρόπος τῶν δυσκόλων.
Φρόνημα λιπαρὸν οὐδαμῶς †ἀναλίσκεται.
Φίλον δι᾽ ὀργὴν ἐν κακοῖσι μὴ προδῷς.
Φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον.
Φοβοῦ τὸ γῆρας· οὐ γὰρ ἔρχεται μόνον.
Φίλος φίλῳ γὰρ συμπονῶν αὑτῷ πονεῖ.
Φίλων τρόπους γίνωσκε, μὴ μίσει δ᾽ ὅλως.
Φίλος με λυπῶν οὐδὲν ἐχθροῦ διαφέρει.
Φεῦγ᾽ ἡδονὴν φέρουσαν ὕστερον βλάβην.
Φίλων ἔπαινον μᾶλλον ἢ σαυτοῦ λέγε.
Φθείρουσιν ἤθη χρήσθ᾽ ὁμιλίαι κακαί.
Φιλίας μέγιστος δεσμὸς αἱ τέκνων γοναί.
Φίλους ἔχων νόμιζε θησαυροὺς ἔχειν.

792 D || **793** Π || **794** *ε* || **795** *ε* || **796** *Γ* || **797** *v* || **798** *v* || **799** *λ* || **800** *χζγΓ* || **801** *ε*B*Γ* || **802** *ζ*B*Γ* Jos || **803** B*Γ* || **804** *γ* BK*Γ* || **805** *ε*B*Γ* || **806** *χζvγΓ* || **807** *ζ*B*Γ* || **808** *ζ*B*Γ* || **809** B*Γ* || **810** *χγΓ*

792 ~ Eurip. fr. 438 TGF² ~ Stob. 4, 31, 55 || **794** = Pap. II 20 | cf. Stob. 3, 10, 3 (Men. II fr. 499); flor. *ἄριστον* Nr. 126; mon. 297, 317, 386, 446, 795, 849 || **796** cf. mon. 791 || **800** cf. mon. 219, 467 || **801** cf. mon. 326, 395 || **802** cf. mon. 39—40, 293, 593, 830, 869—870 || **804** cf. Publ. A 56 'amici mores noveris, non oderis' || **805** = Comp. I 174 || **806** = Stob. 3, 6, 7 (Alexis fr. 295 Kock) | cf. mon. 302, 863 || **807** cf. mon. 678, 778; append. 12, 1 || **808** = Men. II fr. 187 (Eurip. fr. 1024 TGF²) = The Hibeh Papyri 1, 7, 4 = NT epist. Pauli ad Corinth. 1, 15, 33 (cf. Lanowski, Eos 44, 1950, 46) || **810** = Pap. II 21; cf. append. 2, 20 et 12, 2

792 *δὲ*] *τε* Stob. | *ἢ*] *οὐ* Nck. | *φειδὼ βίου* Stob., *φειδωλία* D || **797** *ἀνὴρ ὕπουλος* Th. (sic erat) || **799** *ἀφανίζεται* Erbse || **800** *προδῷς*] *προδοίης γ*, *προδός* P || **802** *φοβοῦ*] *τίμα ζ* || **804** *φίλου* B*Γ* | *γίνωσκε μιμνήσκων ἀεί* K || **805** *με λυπῶν* Jk., *με βλάπτων* codd., *γὰρ ὁ λυπῶν* Comp. I | *ἐχθρῶν* Comp. I || **806** *φέρουσαν* B Stob., *ἔχουσαν* cett. || **808** *φθείρουσι γὰρ Γ* || **810** *ἔχων*] *ἔχειν* Pap. II 21

Φιλόπονος ἴσθι καὶ βίον κτήσῃ καλόν.
Φεύγειν ἀεὶ δεῖ δεσπότας θυμουμένους.
Φέρειν ἀνάγκη θνητὸν ὄντα τὴν τύχην.
Φιλεῖ δ' ἑαυτοῦ πλεῖον οὐδεὶς οὐδένα.
Φιλίας δικαίας κτῆσις ἀσφαλεστάτη.
Φασὶν κακίστους οἱ πονηροὶ τοὺς καλούς.
Φίλον βέβαιον ἐν κακοῖσι μὴ φοβοῦ.
Φρονοῦντός ἐστι ζημίαν πράως φέρειν.
Φῶς ἐστι τῷ νῷ πρὸς θεὸν βλέπειν ἀεί.
Φίλος φίλου δεόμενος οὐκ ἔστιν φίλος.
Χειμὼν †μεταβάλλει ῥᾳδίως εἰς εὐδίαν.
Χρηστὸς πονηροῖς οὐ τιτρώσκεται λόγοις.
Χειμὼν κατ' οἴκους ἐστὶν ἀνδράσιν γυνή.
Χάριν φίλοις εὔκαιρον ἀπόδος ἐμ μέρει.
Χάριν χαρίζου, καθ' ὅσον ἰσχύειν δοκεῖς.
Χρυσὸς δ' ἀνοίγει πάντα καὶ χαλκᾶς πύλας.
Χάριν λαβὼν μέμνησο καὶ δοὺς ἐπιλαθοῦ.
Χάριτας δικαίας καὶ δίδου καὶ λάμβανε.
Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος.

811 δγυΒΓ ‖ **812** χζγΓ ‖ **813** νΓ ‖ **814** γΒΓ ‖ **815** ΒΓ ‖ **816** ΒΓ ‖ **817** εΒΓ ‖ **818** ζΓ ‖ **819—820** υ ‖ **821** ΒΓ ‖ **822** λΒΓ ‖ **823** χζυΓ Par ‖ **824** ΒΓ ‖ **825** δΒΓ ‖ **826** ζΒΓ ‖ **827** ΒΓ ‖ **828** ΒΓ ‖ **829** ζΒΓ

813 cf. mon. 479 ‖ **814** cf. flor. *ἄριστον* Nr. 138; Apostol. 17, 86 H; mon. 560 ‖ **815** cf. Publ. A 53 'amico firmo nil emi melius potest'; mon. 575 ‖ **817** cf. flor. *ἄριστον* Nr. 142; mon. 100 ‖ **820** cf. mon. 115 ‖ **823** = Apostol. 18, 19 A ‖ **824** = Pap. II 22 ‖ **826** cf. mon. 181, 612 ‖ **828** cf. Comp. II 93 ‖ **829** = Soph. Oed. R. 614 (Stob. 1, 8, 21) | cf. Stob. 1, 8, 28 (epim. 15 TGF²; Philem. fr. 235 Kock)

811 *κτήσῃ*] *ζήσῃ* K | *καὶ ζήσεις βίον καλόν* F ‖ **812** *ἀεὶ δεῖ*] *ἀεὶ χρὴ* B, *προαιροῦ* F ‖ **818** *ζημίας* δ | *πράως*] *καλῶς* R, *γενναίως* δF ‖ **819** *τῷ νῷ*] *τὸν νοῦν* Taur *τῷ ἀνθρώπῳ* Coll ‖ **821** *μεταβαλεῖ* Erbse ‖ **822** *πονηρῶν* Σ ‖ **823** *χειμὼν κατ' οἴκους ἀνδράσιν κακὴ γυνή* ζF, *χειμὼν μέγιστος οἰκίας γυνὴ κακή* υν ‖ **824** *χάριν . . . ἐμ μέρει* Pap. II 22, *χάριν λαβὼν εὔκαιρον ἐν καιρῷ δίδου* ΒΓ ‖ **825** *ἰσχύειν δοκεῖς*] *ἰσχύεις ὅμως* Γ, *ἰσχύεις* B ‖ **826** *χρυσὸς*] *χρόνος* F | *χαλκᾶς*] *χρυσᾶς* V, *Ἅιδου* B ‖ **829** *δείκνυσιν* B Soph. Oed. R., *δεικνύει* cett.

Χαλεπὸν τὸ γῆράς ἐστιν ἀνθρώποις βάρος.
Χρόνος δ' ἀμαυροῖ πάντα κεἰς λήθην ἄγει.
Χεὶρ χεῖρα νίπτει, δάκτυλοι δὲ δακτύλους.
Χαίρειν ἐπ' αἰσχροῖς οὐδέποτε χρὴ πράγμασιν.
†Χωρισμὸς φίλων δοκιμαστήριον φιλίας.†
Χρηστὴ γυνὴ κτῆμ' ἐστὶν ἀνδρὶ σώφρονι.
Χαλεπὸς θεατὴς ἀσυνέτως καθήμενος.
Χωρὶς γυναικὸς ἀνδρὶ κακὸν οὐ γίγνεται.
Χαίρειν προσήκει τοῖς παθῶν ἐλευθέροις.
Χρόνος τὰ κρυπτὰ πάντα πρὸς τὸ φῶς φέρει.
Ψυχῆς νοσούσης ἐστὶ φάρμακον λόγος.
Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.
Ψυχὴν ἔθιζε πρὸς τὰ χρηστὰ πράγματα.
Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον.
Ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς.
Ψευδὴς διαβολὴ τὸν βίον λυμαίνεται.
Ψεῦδος δὲ μισεῖ πᾶς σοφὸς καὶ χρήσιμος.

830 **BΓ** || **831** **γBΓ** || **832** **BWΓ** || **833** **λυ** || **834** **εF** || **835** **δF** || **836** **K** || **837** **εF** || **838—839** **υ** || **840** **χζυΓ Vat** || **841** **ελυB** || **842** **ζBΓ** || **843** **εγB** || **844** **ζυBΓ** || **845** **ζγBΓ** || **846** **γBΓ**

830 cf. mon. 39—40, 293, 869—870 || **831** = Stob. 4, 58, 8 (Soph. fr. 868 TGF²) || **832** cf. Stob. 3, 10, 13 || **833** cf. Stob. 3, 5, 3 (Soph. fr. 840 TGF²) || **835** cf. mon. 155 || **837** cf. mon. 203, 622 || **839** ~ Stob. 1, 8, 26 ~ adesp. fr. 511 TGF² (Philem. fr. 192 Kock) | cf. Stob. 1, 8, 1; mon. 13. 639 || **840** cf. Pap. XVI 3; flor. *ἄριστον* Nr. 154; mon. 46, 437, 439, 445, 452, 454. 587 || **841** cf. flor. *ἄριστον* Nr. 156; mon. 347, 432, 626 || **843** = Stob. 4, 52, 14 = Eurip. Alc. 301 | cf. mon. 565 || **844** cf. flor. *ἄριστον* Nr. 151; Publ. F 31 'frenos imposuit linguae conscientia' || **845** = Pap. II 23 | cf. Pap. IV 1—4; Comp. I 291 || **846** cf. append. 12, 4

831 *χρόνος δ' ἀναιρεῖ πάντα καὶ λήθην ἄγει* **ΓB** | *φέρει* **λ** | *λήθην*] *μνήμην* **λ** || **832** *καὶ δάκτυλος δάκτυλον* **BΓ** || **833** *αἰσχροῖς*] *αἰσχρὸν* **λ** | *οὐδέποτε χρὴ*] *οὐ δόλως δεῖ* **υ** | *πρᾶγμα* **λ** || **834** *φιλίας δοκιμασία 'στι χωρισμὸς φίλων* Th. || **836** *ἀσυνέτως* Sn., *ἔστ' ἀσύνετος* **K** || **837** *γυναικῶν* **F** || **838** *χάρις προσήκει* Taur || **839** *πρὸς*] *εἰς* **υ** | *πάντα εἰς φάος ἄγει* Stob. (FP), *πάντα πρὸς τὸ φῶς ἄγει* Mk. || **840** *εἰσὶν ἰατροὶ λόγοι* **B(2) Vat 1276** || **845** *καταβολὴ* **γ**, *γὰρ ἀκοὴ* Pap. IV || **846** *φρόνιμος καὶ σοφός* **λ**

Ψυχῆς †ἀρχαίας† οὐδέν ἐστι γλυκύτερον.
Ψυχῆς ἐπιμέλου τῆς σεαυτοῦ καθὰ δύνῃ.
Ψεῦδος μέγιστόν ἐστιν ἀνθρώποις κακόν.
Ψεῦδος ταπεινοῖ τοὺς ἄγαν ἐπωμότας.
Ψυχῆς ὄλεθρός ἐστι σωμάτων ἔρως.
Ὡς χαρίεν ἔστ' ἄνθρωπος, ἂν ἄνθρωπος ᾖ.
Ὡς αἰσχρὸν ἀνθρώποισίν ἐστ' ἀπληστία.
Ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.
Ὡς ἡδὺ τὸ ζῆν μὴ φθονούσης τῆς τύχης.
Ὡς αἰσχρὸν εὖ ζῆν ἐν πονηροῖς ἤθεσιν.
Ὡς ἡδὺ κάλλος, ὅταν ἔχῃ νοῦν σώφρονα.
Ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν.
Ὡς ἡδὺ τῷ σωθέντι μεμνῆσθαι πόνων.
Ὡς ἔστ' ἄπιστον ἡ γυναικεία φύσις.
Ὦ τρισκακοδαίμων, ὅστις ὢν πένης γαμεῖ.
Ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.
Ὡς πολλὰ διὰ τὰς ἡδονὰς λυπούμεθα.

847 *δ* 848 *ε Γ* || 849—850 F || 851 *υ* || 852 W || 853 *ν ε γ* || 854 *ε* W 855 *ν ζ γ Γ* || 856 *γ Γ* || 857 *ε Γ* || 858 *ζ Γ* || 859 *ζ Γ* || 860 *ε Γ* || 861 K *Γ* || 862 K *Γ* || 863 K *Γ*

849 cf. mon. 795 || 852 = Men. II fr. 848 ~ Stob. 3, 3, 12 || 853 cf. mon. 386 || 854 = Stob. 4, 31, 11, 2 = Stob. 4, 31, 39 (Eurip. fr. 462, 2 TGF²) | cf. mon. 725, 748, 754 || 855 cf. Stob. 4, 53, 4 (Men. II fr. 440); mon. 280 || 857 cf. mon. 465 || 858 cf. Stob. 4, 19, 3 (Eurip. fr. 529 TGF²) Pap. XIX 10—11; Stob. 4, 19, 7 (Men. II fr. 564) || 859 ~ Stob. 3, 29, 57 (Eurip. fr. 133 TGF²) || 860 = Stob. 4, 22, 142 (Men. II fr. 585) | cf. Eurip. Iph. Taur. 1298 || 861 = Stob. 4, 22, 31, 1 (Men. II fr. 335, 1) || 863 cf. mon. 250, 302, 806

847 *ἀρχαίας*] *δικαίας* Erbse || 848 *ἑαυτοῦ* P | *καθὸ δ* | *δύνασαι ε* || 849 *ψεῦδος . . . κακόν* Jk., *ψεῦδος κάκιστόν ἐστιν ἀνθρώποις πᾶσιν* F || 852 *ὡς*] *ἢ* Stob. | *χαρίεν* Stob., *χαρίεις* W | *ἔστ'* Stob., *ἐστὶν* codd. | *ἂν ἄνθρωπος ᾖ* Stob., *ὅταν υἱὸς ᾖ* W || 853 *αἰσχρὸν*] *ἐχθρὸν ν* | *ἐστ' ἀπληστία* Mk., *ἡ ἀπληστία* codd. || 854 *πάντων* W || 855 *μὴ φθονούσης τῆς τύχης*] *μὴ φθονουμένης τύχης ζ ν* W, *εὐτυχῶς ἄνευ φθόνου λ* || 856 *αἰσχρὸν*] *ἔργον Γ* | *εὖ*] *τὸ λ* || 858 *δούλοις* R || 859 *ὡς*] *ἀλλ'* Stob. | *τῷ σωθέντι*] *τοῖς σοφοῖσι Γ*, *τοι σωθέντα* Stob., *τῷ συνθέντι* K || 860 *ἄπιστον* Stob. *Γ*, *ἄπιστος* codd. || 861 *ὦ* Stob., *ὡς Γ*, *ὢ* K | *τρισκακόδαιμον* K et Stob. (SMA) | *γαμεῖς* K || 882 *εὐκόπως* K

Ὡς οὐδὲν οἶδ' ἄνθρωπος ὧν μέλλει ποιεῖν.
Ὡς οὐδὲν ἡ μάθησις, ἂν μὴ νοῦς παρῇ.
Ὦ Ζεῦ, τὸ πάντων κρεῖττόν ἐστι νοῦν ἔχειν.
Ὡς πάντα τιμῆς ἐστι πλὴν τρόπου κακοῦ.
Ὡς χρηστὰ πράττειν κρεῖττόν ἐστ' ἐλευθέρως.
Ὦ γῆρας ἐχθρὸν σωμάτων ἀνθρωπίνων,
ἅπαντα συλῶν ⟨τὰ⟩ καλὰ τῆς εὐμορφίας.
Ὡς ἡδὺς ὁ βίος, ἄν τις αὐτὸν μὴ μάθῃ.
Ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν.
Ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς.
Ὡς ποικίλον πρᾶγμ' ἐστὶ καὶ πλάνον τύχη.
Ὡς πολλὰ θνητοῖς ἡ σχολὴ ποιεῖ κακά.
Ὧν ἦρξε γαστήρ, τὸ φρονεῖν ἀφῃρέθη.
Ὦ γῆρας ἀνθρώποισιν εὐκταῖον κακόν.


864 K || **865** *εΓ* || **866** *δ* || **867** *εΓ* || **868** K | **869–870** U
871 *υΓ* || **872** *υΓ* || **873–875** *Γ* || **876–877** *υ*

864 cf. mon. 479, 732 || **865** cf. mon. 152, 568, 586 || **868** cf. Stob. 3, 37, 7 (Men. II fr. 534) || **869–870** = Comp. II 35–36 | cf. mon. 39–40, 830 || **872** = Pap. III 1 = Apostol. 18, 66 G | cf. Comp. II 91–92; append. 12, 24; flor. *ἄριστον* Nr. 158 || **874** = Stob. 1, 7, 1 (Men. I Cith. fr. 8) | cf. Pap. XVIII Col. 2, 26; Stob. 1, 7, 3 (Men. II fr. 463) || **875** cf. mon. 658 || **877** cf. mon. 159

864 *ποιεῖν*] *παθεῖν* My. || **867** *κακοῦ τρόπου Γ* || **869** *σωμάτων ἀνθρωπίνων* Comp. II, *σώμασιν ἀνθρωπίνοις* U || **870** *τὰ* add. Mk. || **871** *μάθοι* Coll || **872** *καιρῷ*] *κακῷ* Taur

COMPARATIO

MENANDRI ET PHILISTIONIS



I

ΜΕΝΑΝΔΡΟΥ ΚΑΙ ΦΙΛΙΣΤΙΩΝΟΣ ΓΝΩΜΑΙ ΚΑΙ ΔΙΑΛΕΚΤΟΙ

Μεν. Φιλιστίωνα τὸν καλόν τε κἀγαθὸν
ἐγὼ Μένανδρος πολλὰ χαίρειν βούλομαι.
Φιλ. Κἀγὼ τἄδ' αὐτὰ βούλομαι Φιλιστίων
προσεννέπειν, Μένανδρε, τὴν ἴσην χάριν.
Μεν. Ἀπαρενόχλητος ὁ τόπος ἡμῖν τυγχάνει,
καὶ τοῦ λέγειν ἄρξασθ' ⟨ἐγὼ⟩ δὴ βούλομαι.
Φιλ. Ἕτοιμον εὑρήσεις με. καὶ γὰρ τῆς σχολῆς
εὐκαιρία προτρέψεται λέγειν σοφῶς.
Μεν. Ὁρᾷς ἐπὶ γῆς ἄνθρωπον †τεθνηκότα;
ἄμεινον ἡμᾶς μὴ γενέσθαι μηδ' ὅλως.
Φιλ. Ἆρ' οὗτος οὐ κατεῖδε τὸν ἑαυτοῦ χρόνον
ἢ ⟨τὸν⟩ δι' ἄστρων ἀριθμὸν οὐκ ἐγνώρισεν;
Μεν. Εἰ γὰρ μαθὼν ἦν καὶ χρόνους ἠπίστατο,
ἔδει τότ' αὐτὸν θνητὸν ὄντα μὴ θανεῖν;
Φιλ. Ἐν δειλίᾳ γὰρ ζῶντες ἡμεῖς τοῦ βίου
ὄντως ⟨γὰρ⟩ {νῦν} ἡμῖν ⟨νῦν⟩ πλάνη παρίσταται.

10 cf. Eurip. fr. 908, 1 TGF²; mon. 415, 772 || 16 cf. mon. 644, 677, 874

3 *καὶ γὰρ παιδεῦσαι βούλομαι Φιλιστ..*[L | *τάδ'* Sn., *τὰ δ'* K, *τά σ'* My. || 4 *προσεννέπειν* My., *προσενέπειν* codd. || 5 *ὁ τόπος ἡμῖν τυγχάνει* Th., *ἡμῖν τυγχάνει τόπος* codd. || 6 *ἄρξασθ' ἐγὼ δὴ* Th., *ἄρξασθαι ἤδη* codd. || 8 *προτρέψεται λέγειν* Th., *προτρέπεται τοῦ λέγειν* codd. | *τῷ λέγειν* Stu. | *σοφῶς* Stu., *σαφῶς* codd. || 9 *ἀποτεθνηκότα* Stu., *ὡς τεθνηκότα* Jk. | *ἄνθρωπον ἐπὶ γῆς τόνδ' ὁρᾷς τεθνηκότα* Th. || 10 *γενέσθαι* Eurip. fr. 908, *γεννᾶσθαι* codd. | *μηδ' ὅλως* K, *τοὺς βροτούς* L || 11 *ἆρ' . . . χρόνον* Th., *ἆρ' οὐ κατῄδει οὗτος ἑαυτοῦ τὸν χρόνον* K,]*ῄδει οὗτος αὑτοῦ τὸν χρόνον* L || 12 add. My. || 13 *καὶ μαθὼν* K | *μαθὼν ἦν*] *μάθησιν* Th. || 14 *τότ' αὐτὸν* Th., *τὸ τοῦτον* L, *τοῦτον* K || 16 add. Schm. | *οὕτως ἂν ἡμῖν καὶ ἡ πλάνη* L

Μεν. Ὅταν θέλῃ τις τἀτρεκῆ προμανθάνειν,
μάτην πλανᾶται τὸ σαφὲς †σοφῶς μαθεῖν.
Φιλ. Ἐὰν θελήσῃς βίον ἄλυπον ἐκτελεῖν,
μὴ προσδόκα τὸ μέλλον ἢ λυπῇ μάτην.
Μεν. Ὅστις κάτοιδε τοῦ βίου τὴν ἔκβασιν,
μαθὼν †ὀδυνᾶται προσδοκῶν καθ' ἡμέραν.
Μεν. Οὐδὲν πέφυκε κρεῖττον †τῆς εὐκαιρίας·
καιροῦ γὰρ ἰσχύοντος οὐδὲ εἷς κριτής.
Φιλ. Ὅστις τὸν εὐτυχοῦντα βασκαίνειν θέλει,
λυπεῖν ἑαυτὸν βούλετ'{αι} εἰς ὃν ζῇ χρόνον.
Μεν. † Τὸ ἐξαίφνης ἀόρατον †
ἀπροσδοκήτως ἐλθὸν ἰδίαν χάριν ἔχει.
Φιλ. Οὔτ' εὐτυχεῖν δεῖ πάμπαν οὔτε δυστυχεῖν.
ῥοπαῖς δὲ καιρῶν καὶ μεταβολαῖς †πάντα ἀλλάσσεται.
Μεν. Ἐκ τοῦ τυχεῖν ἄνθρωπον ἀβεβαίου βίου
τύχην {εκ}καλοῦμεν ἣν ὅλως οὐκ οἴδαμεν.
Φιλ. Κἂν αἰτιᾷ, μέτρησον αὐτοῦ τὴν τύχην.
ποῖον πέφυκε κέρδος ἐκ τούτου, φράσον.
Μεν. Κακοὶ γὰρ εὐτυχοῦντες ἐκπλήττουσί με.
ἀδίκως πονηροῖς †πλοῦτον δωρεῖται θεός.
Φιλ. Ὡς θνητὸς ὢν ἄνθρωπος †καὶ λιπὼν φάος,
χαλιναγωγεῖν δεῖ τὸν τεταγμένον χρόνον.

17–18 cf. mon. 105 || 19 cf. mon. 570 || 23 cf. mon. 382, 424; Men. Dysc. 128–129 || 29 cf. Eurip. fr. 196 TGF² || 30 cf. mon. 734 || 31 cf. mon. 96 || 35 = adesp. fr. 465 TGF²; cf. mon. 338

17 τἀτρεκῆ Sn., ἀπρεπῆ K, τ' ἀπρεπῆ L | προσμανθάνειν L || 18 σαφῶς L | τἀσαφὲς σαφῶς My. || 19 θέλῃς . . . ἐκτενῆ K || 20 ἢ Th., καὶ σὺ L, κοὺ K || 22 μαθὼν] θανεῖν My. | καθ'] τὴν Th. || 23 εὐκαιρίας πέφυκε κρεῖττον οὐδὲ ἓν Th. || 26 del. Sn. || 27–28 τἀπροσδοκήτως ἐλθὸν ἰδίαν χάριν ἔχει My. || 30 ῥοπαῖς δὲ καιρῶν μεταβολαῖς τ' ἀλλάσσεται vel καιρῶν δὲ μεταβολαῖσι πάντ' ἀλλάσσεται My. || 31 ἀβεβαίου βίου Stu., ἀβέβαιον βίον K || 32 τύχην ἐκκαλουμένην K, τύχην καλοῦμεν ἣν My., τύχην καλουμένην Sohm., Τύχην Jk. || 33 κἂν αἰτιᾷ, μέτρησον αὑτοῦ (= σεαυτοῦ) vel αὐτοῦ (τοῦ ἀνθρώπου) τὴν τύχην My., κἂν αἰτιᾶς, μέτρησόν σου τὴν τύχην K || 36 πλοῦτον] πολλὰ My. || 37 ἄνθρωπε My. | καὶ λιπὼν] καὶ λείψων Stu., ἀπολείψῃ Sn. || 38 χαλιναγώγει τὸν τεταγμένον χρόνον My.

Μεν. *Πενίας ⟨περ⟩ οὐδέν ἐστιν ἀθλιώτερον.*
ἄμεινόν ἐστιν ἀποθανεῖν ἢ δυστυχεῖν.
Φιλ. *Ἄνθρωπον ὄντα πάντα προσδοκᾶν σε δεῖ.*
ὁ δ' ἐκκακήσας ὤλεσε⟨ν⟩ τὰς ἐλπίδας.
Μεν. *Ἢ μὴ ποίει τὸ κρυπτὸν ἢ μόνος ποίει,*
ἵνα σὺ σεαυτὸν μόνος ἔχῃς συνίστορα.
Φιλ. *Μυστήριόν σου μήποτ' εἴπῃς τῷ φίλῳ,*
κοὐ μὴ φοβηθῇς αὐτὸν ἐχθρὸν γενόμενον.
Μεν. *Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ ἐκφάνῃς φίλου.*
†ἔλπιζε γὰρ αὐτὸν πάλιν γενέσθαι φίλον.†
Φιλ. *Ὁ θυμὸς οὔτε ῥῶσιν οὔτε νοῦν ἔχει·*
ὀργὴ δὲ δεινὰ δρᾶν ἀναγκάζει βροτούς.
Μεν. *Ὅστις γυναικὸς ἀποθανούσης ἐπιγαμεῖ,*
ὁ τοιοῦτος ὄντως οὐκ ἐπίστατ' εὐτυχεῖν.
Φιλ. *Ἅπαντας ἡμᾶς δεῖ φέρειν τὰς διαβολὰς*
ὑπὸ τοῦ λέγοντος, κἂν θέλῃς κἂν μὴ θέλῃς.
Μεν. *Πενίαν φέρειν οὐ παντός, ἀλλ' ἀνδρὸς σοφοῦ.*
πολλοὶ γὰρ εὐτυχοῦντες οὐ φρονοῦσιν εὖ.
Φιλ. *Ἀνὴρ ὁ πλουτῶν ⟨εἰ⟩ μέγα κομπάζων βιοῖ,*
ἅπασι δ' ἀνθρώποις ἔχει μῖσος μέγα.

39 ∼ Stob. 4, 32, 33 (Krantoros) | cf. mon. 660 || 40 cf. mon. 276, 415; Comp. I 62 || 41 = Comp. I 252 | cf. mon. 813; Stob. 4, 44, 29 (Men. II fr. 46) || 43 = mon. 316 || 45 ∼ Comp. II 89 || 45—46 = Men. fr. 695 Kock ∼ Maxim. 6, 72 et Anton. 1, 25 || 47 = mon. 567 ∼ Pap. XV 1 || 47—48 ∼ Maxim. 6, 73 et Anton. 1, 25 | cf. mon. 567 cum adnotatione; Philem. fr. 233 Kock || 49 cf. mon. 355 || 50 ∼ mon. 578 || 51—52 cf. mon. 151 || 55 = mon. 633 = Anton. 33 || 56 cf. mon. 628

39 add. Schm. | *οὐκ ἔστι πενίας οὐδὲν ἀθλιώτερον* Stob. || 40 *ἄμεινόν ἐστιν ἀποθανεῖν* My., *ἄμεινον γὰρ ἀποθανεῖν ἐστιν* K || 42 add. Stu. || 44 *σεαυτὸν . . . συνίστορα* Chr., *σαυτὸν μόνος ἦς συνιστορῶν* K, *σεαυτῷ μοῦνος ἦς συνιστορῶν* My. || 45 *μὴ κατείπῃς* Comp. II 89 || 46 *καὶ οὐ φοβηθήσῃ* Max. Ant. | *ἐχθρὸν γενόμενον* Max. Ant., *ἐχθρόν σου γενόμενον* K || 47 *μὴ ἐκφάνῃς φίλου* mon. 567, *φίλῳ μὴ ἐκφάνῃς* K, *μὴ φάνῃς φίλου* Max. Ant. | *ὀργῆς ἕκατι κρυπτὰ* Pap. XV || 48 *γὰρ*] *δ'* Max. Ant. | *γενέσθαι φίλον*] *εἶναί σου φίλον* mon. 567 (V), *ἔσσεσθαι φίλον* My., *ἂν εἶναί σου φίλον* Mk. || 50 *δεινὰ*] *πολλὰ* mon. 578 | *βροτούς*] *κακά* mon. 578 || 56 cf. variam lectionem ad mon. 628 || 57 *εἰ* add. Sn. || 58 *ἅπασι⟨ν⟩* [*δ'*] Sn. | *ἀνθρώποις* Sn., *ἀνθρώποισιν* K

Μεν. Πολλῶν ⟨μὲν⟩ ὁ λόγος χρηστός, ὁ δὲ τρόπος κακός.
οὐ τῷ λόγῳ δὲ δεῖ †χρῆσθαι, ἀλλὰ τῷ τρόπῳ.
Φιλ. Πενία δ' ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ.
τῷ δυστυχοῦντι θάνατος αἱρετώτερος.
Μεν. Δοκίμαζε πρῶτον τὸν τρόπον κοὐ τὸν λόγον.
σεμνὸς τρόπος γὰρ διαφέρει καλῶν λόγων.
Φιλ. Εἰ χρήμασι⟨ν⟩ τὸν θάνατον ἐξωνούμεθα,
τῶν πλουσίων ⟨ἂν⟩ ὁ κόσμος ὅλος ἐτύγχανε.
Μεν. Ἅπασιν ἀνθρώποισ⟨ιν⟩ ἀπόκειται θανεῖν,
ζωῆς γὰρ ἡμῖν ὀλίγος ἐμετρήθη χρόνος.
Φιλ. Μηδεὶς ἑαυτὸν μακάριον νομιζέτω,
πρὶν ἢ μάθῃ τὸ τέρμα τῆς εἱμαρμένης.
Μεν. Ψευδηγόροις γελῶσι καὶ μύθοις κενοῖς,
†θεραπεύεται τὰ κακὰ ταῖς συμβουλίαις.†
Φιλ. Τί τῷ θανόντι δῶρα λαμπρὰ προσφέρεις
ἃ μεθ' ἡδονῆς ἀφῆκε κοὐκ ἐχρήσατο.
Μεν. Τί τὸν θανόντα κωφὸν ὠφελεῖς καλῶν;
τὸν ζῶντα λυπεῖς, τῷ θανόντι δ' οὐ μέλει.
Φιλ. Ὁ τάφος στεφανωθεὶς πλουσίως καὶ κοσμίως
†τὸ ζῆν ἑαυτοῦ διὰ πλάνης κατηγορεῖ.†
Μεν. Ἐν ἀδειλίᾳ γὰρ ζῶντες ὃν ζῶμεν χρόνον
φρόνιμοι δοκοῦμεν μηδὲ ἓν †καθιόντες.

61 = mon. 645 | cf. Eurip. Electra 37–38 || 62 cf. mon. 276, 415; Comp. I 40 || 69—70 cf. mon. 498 cum adnotatione || 73—74 ~ Comp. III 17–18 (Men. fr. 706 Kock) || 75–76 cf. Comp. III 13—14 || 77—78 cf. Comp. III 15—16; Philem. fr. 172 Kock

59 add. My. || 60 *δὲ δεῖ χρῆσθαι*] *πίστευσον* My. || 61 *δ'* mon. 645, om. K || 63 *δοκίμαζε . . . λόγον* Sn., *δοκίμαζε πρῶτον τὸν λόγον καὶ οὕτως τὸν τρόπον* K, *δοκίμαζε πρότερον τοῦ λόγου παντὸς τρόπον* vel *τοὺς τρόπους ἢ τοὺς λόγους* My. || 64 *καλῶν* Sn., *τῶν* K || 65 add. Stu. || 66 add. Th. || 67 *ἀνθρώποισιν . . . θανεῖν* Stu., *ἀνθρώποις . . . τὸ θανεῖν* K || 71 *γέλωσι* Th. || 72 *τὰ κακὰ*] *πολλὰ κακὰ* My. || 74 *ἃ μετ' ὀδύνης εἴασε* Comp. III 18 || 75 *καλῶν* Sn., *ἀκούων* K, *γόοις* My. || 76 *τῷ θανόντι* My., *τὸν θανόντα* K || 77—78 *μάτην τάφον στεφάνοισι κοσμεῖς ποικίλοις* | *τὸν ζῶντα τοῖς στεφάνοις παρηγόρει* Dobr. ex Comp. III 15—16 || 79 *δειλίᾳ* My. || 80 *μὴ μαθόντες μηδὲ ἓν* My. | *κατειδότες* Sn.

Φιλ. *Κούφως φέρειν δεῖ τὰς ἐνεστώσας τύχας.*
βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.
Μεν. *Ὁ καιρὸς ἀνθρώποισιν, οἶσπερ ἂν θέλῃ,*
ἐλθὼν δίδωσιν χρημάτων ἐξουσίαν.
Φιλ. *Εἰ πᾶσιν ἡμῖν ἦν φρενῶν κοινωνία,*
καὶ χρημάτων ἦν καὶ φρενῶν κοινωνία.
Μεν. *Εἰ τὴν φρόνησιν πάντες εἶχον τὴν ἴσην,*
οὐδεὶς ἐγίγνετ' ἂν πενόμενος πώποτε.
Φιλ. *Οὐδεὶς γενόμενος εὐθέως ἔστι⟨ν⟩ σοφός,*
τύχη δὲ καὶ τὸν μὴ σοφὸν ποιεῖ σοφόν.
Μεν. *Ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη,*
οὐδεὶς δὲ νικᾷ μὴ θελούσης τῆς τύχης.
Φιλ. *Οὐδὲν μετατιθεῖ τῶν πεπρωμένων τύχη,*
ἃ γὰρ πέπρωται ταῦθ' ὅλως οὐ μετατιθεῖ.
Μεν. *Ἃ δεῖ παθεῖν σε μηδαμοῦ σκέψῃ φυγεῖν,*
οὐ γὰρ δυνήσῃ διαφυγεῖν ὅ σε δεῖ παθεῖν.
Φιλ. *Τὸν δοῦλον οὕτως ἔχε λαβὼν ὡς⟨*
⟩τύχην. 97A
Μεν. *Δούλους ποιοῦσι †πάντας τοὺς ἐλευθέρους*
γάμοι, τεκνώσεις, ἡδοναί, φόβοι, νόμοι.
Φιλ. *Ἐλευθέρους ἅπαντας ἡ φύσις ποιεῖ,*
δούλους δὲ μετεποίησεν ἡ πλεονεξία.

81 ∼ mon. 392 ‖ **82** = mon. 104 = Pap. XIII 6—7 | cf. mon. 273, 329 ‖ **83—84** cf. mon. 424 ‖ **91** = Comp. II 22 ‖ **91—92** = Stob. 1, 6, 15 (Chaerem. fr. 19 TGF[2]) ‖ **92** cf. mon. 280 ‖ **95—96** ∼ Comp. II 149—150 (Philem. fr. 115 Kock) | cf. mon. 479, 813; Comp. I 41 ‖ **97—97 A** cf. Comp. I 263—264 ‖ **100—101** ∼ Comp. II 128—129 | cf. Philem. fr. 95, 5—6 Kock; mon. 45

81 *παρεστώσας* mon. 392 | cf. variam lectionem ad mon. 392 ‖ **83** *οἶσπερ ἂν* Sn., *ὁπόταν* K, *ὅταν αὐτὸς* My. ‖ **84** *ἐλθὼν δίδωσιν* My. *δίδωσιν ἐλθὼν* K ‖ **87** *εἶχον τὴν ἴσην* My., *εἴχομεν ἴσην* K ‖ **88** *οὐδεὶς ἐγίγνετ' ἂν* My., *οὐδεὶς πέλε* K ‖ **89** *γενόμενος* My., *γεννώμενος* K | *ἔστι⟨ν⟩* Stu. ‖ **91** *ἅπαντα* Comp. II et Stob., *ἅπαντι* K ‖ **92** *οὐδεὶς* Stob., *οὐδὲν* K ‖ **94** *ταῦθ'* My., *ταῦτα* K ‖ **95** *ἃ*] *ὃ* Comp. II | *μηδαμοῦ σκέψῃ* Comp. II, *μὴ διασκέπτου* K ‖ **96** *ὅ σε δεῖ* Comp. II, *ὃ δεῖ σε* K | *διαφυγεῖν*] *φεύγειν* (vel *φυγεῖν*) Comp. II ‖ **97** sq. lac. ind. Sn. ‖ **98** *πάντα* My. ‖ **100** *ἐλευθέρους ἐποίησε πάντας τῇ φύσει* Comp. II ‖ **101** *δούλους*] *δοῦλον* Comp. II | *μετεποίησεν ἡ* My. ex Comp. II, *ἐποίησε* K

Μεν. Δούλευε, δοῦλε, μᾶλλον ἐκ προθυμίας·
βάρος γὰρ ἕξεις ⟨μᾶλλον⟩ ἐκ κελεύσεως.
Φιλ. Ἤ φιλόσοφον δεῖ τὸν πένητα τυγχάνειν
ἢ δοῦλον εἶναι πᾶσιν ὧν χρείαν ἔχει.
Μεν. Ἐκ δουλ[ε]ίας εἰ δεσπότην τύχοις ἔχων,
†ψεύσῃ μηδέποτ'· οἶδε γάρ σου τὰ ψεύσματα.†
Φιλ. Δούλῳ γενομένῳ, δοῦλε, δουλεύειν φοβοῦ.
ἀμνημονεῖ γὰρ ταῦρος ἀργήσας ζυγοῦ.
Μεν. Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ.
φύλασσε σαυτὸν ἐγκρατῶς ἐλεύθερον.
Φιλ. Ἡ γῆ τόκους δίδωσι μὴ λυπουμένη·
ἀπὸ γῆς ἔφυ τὰ πάντα κεἰς γῆν οἴχεται.
Μεν. Ἐὰν δανείσῃ καὶ μακρῷ χρόνῳ κρατῇς,
ἅπαξ λαβὼν τὸ χρῆμα δώσεις πολλάκις.
Φιλ. Βλέπε τὸν δανειστὴν ὡς θάλασσαν ἢ βυθόν·
ἂν γὰρ βραδύνῃς, λαμβάνεις τρικυμίαν.
Μεν. Ὡς τὰς γυναῖκας τοκετὸς ὀλολύξαι ποιεῖ,
καὶ τοὺς πένητας ὁ τόκος ὀλολύξαι ποιεῖ.
Φιλ. Ἄμεινόν ἐστι καταλιπεῖν ἄλγος τισὶν
†ἢ μηδὲν ἔχοντα . . . .†
Μεν. Πράξας κακῶς τι κἂν δοκῇς θεὸν λαθεῖν,
πίστευσον ὅτι σ⟨ε⟩αυτὸν οὐ δύνῃ λαθεῖν.
Φιλ. Ἐὰν φονεύῃς λα⟨ν⟩θ⟨άν⟩ων, εὔχου θεῷ.
ὃ λανθάνεις ἄνθρωπον, ὁμολόγει θεῷ.

102—103 ~ Comp. I 267—268 || **108** cf. mon. 207 || **108—109** = Comp. II 115—116 ~ Men. fr. 698 Kock || **110** = mon. 759 | cf. Comp. I 100—101 || **111** cf. mon. 215, 711 || **112** cf. Maxim. 8, 21 (Philem. fr. 231, 2 Kock) || **113** cf. mon. 145, 312 || **122—123** cf. Comp. I 137 (Comp. IV 25); mon. 432, 626

102 *δούλευε δοῦλε* Comp. I 267, *δοῦλε δούλευσον* K | *ἐκ βουλήσεως* Comp. I 267 || **103** *μᾶλλον* add. My. ex Comp. I 268 || **105** *πᾶσιν ὧν* Th., *πάντως ὧν* K, *παντὸς οὗ* My. || **106** *δουλίας* Schm., *δουλείας* K | *εἰ δεσπότην* Sn., *δεσπότην εἰ* K || **108** *δουλεύειν*] *δουλεύων* Kock || **113** *κεἰς* My., *καὶ εἰς* K | *οἴχεται* My., *τὸ πᾶν* K || **114** *δανείσῃ* My., *δανεισθήσῃ* K || **115** *χρῆμ' ἀποδώσεις* My. || **118** *τοκετὸς ὀλολύξαι* My., *ὀλολύξαι τοκετὸς* K || **122** *πράξας κακῶς . . . λαθεῖν* Sn., *ἐὰν κακῶς πράξῃς τι καὶ δοκῇς θεὸν λαθεῖν* K || **123** *σεαυτὸν* My., *σαυτὸν* K || **124** corr. Mtt., *φονεύσας λανθάνῃς* My.

Μεν. Ἔστι⟨ν⟩ Δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ' ὁρᾷ.
†καὶ πρὸς ὃ ποιεῖ τις, οὕτως καὶ κομίζεται.†
Φιλ. Ἡ γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν.
κρεῖττον σιωπᾶν ἢ λαλεῖν ἃ μὴ θέμις.
Μεν. †Ἄκουε πάντα μανθάνειν καὶ μὴ λαλεῖν·†
πολλὴν γὰρ ἀβλάβειαν ἡ σιγὴ φέρει.
Φιλ. †Εὖ ἔχειν σπούδαζε μὴ τῷ σχήματι·
τὸ σῶμα μᾶλλον κόσμει ἢ τὸ φρόνημα.†
τὸ σχῆμα γὰρ κρίνουσιν οὐχὶ τὸν λόγον.
Μεν. Εὐκαταφρόνητός ἐστι{ν} πανταχοῦ πένης.
⟨ὁ⟩ πονηρὰ ποιῶν εὐθέως οὐκ αἰσθ{αν}εται.
Φιλ. ⟨Ὁ⟩ δυσσεβῶν τι{ς} καὶ δοκῶν λαθεῖν θεὸν
κολάζεθ' οὗτος ὑπὸ συνειδότος θεοῦ.
Μεν. Ὁ μὴ κολασθεὶς τῷ νόμῳ πράξας κακῶς,
αὐτὸς ὑφ' ἑαυτοῦ τῷ φόβῳ κολάζεται.
Φιλ. Ὁ μὴ μαθητὴς τοῦ διδάσκοντος λόγου,
οὗτος μαθητὴς τοῦ κολάζοντος νόμου.
Μεν. Μὴ πάσχε πρῶτον τὸν νόμον καὶ μάνθανε·
πρὸ τοῦ παθεῖν σε τῷ φόβῳ προλαμβάνου.
Φιλ. Ὥσπερ λέγουσι πάντες οἱ σοφώτατοι,
οὐδεὶς ποιῶν πονηρὰ λανθάνει Δίκην.

126 = mon. 225 (Philem. fr. 246, 5 Kock) | cf. mon. 605; Comp. IV 42 || **128** = mon. 305 | cf. mon. 289 || **129** ~ mon. 409 | cf. Comp. I 191; mon. 710 || **130** cf. mon. 88, 95 || **131** = Comp. I 192 || **132—133** cf. Comp. IV 29—30 || **135** cf. mon. 240 cum adnotatione || **136** = Comp. IV 23 || **137—138** = Comp. IV 25—26 | cf. Comp. I 122 || **139—140** = Comp. IV 27—28 || **143—144** = Comp. II 147—148 = Comp. IV 31—32 || **145** cf. Comp. II 184 || **146** ~ mon. 626 | cf. Comp. I 122—123

126 *ἔστιν . . . ὁρᾷ* mon. 225, *ἔστι Δίκης ὀφθαλμὸς ὁ βλέπων πάντα* K || **128** *πολλῶν ἐστιν* mon. 305, *πολλοῖς γίνεται* K || **129** *σιωπᾶν ἐστιν ἢ λαλεῖν μάτην* mon. 409 || **130** *μανθάνων . . . λάλει* Sn. || **135** del. My. || **136** suppl. et del. My. ex Comp. IV 23 || **137** add. et del. My. | *θεόν* Comp. IV, *τινά* K || **138** *κολάζεθ' . . . θεοῦ* My. ex Comp. IV 26, *κολάζεται οὗτος ὑπὸ παντὸς θεοῦ* K | *θεοῦ νόου* Th. || **140** *αὐτὸς* Comp. IV, *οὗτος* K || **143** *μὴ πάσχε πρῶτον τὸν νόμον* Comp. II, *νίκα σιωπῶν τὸν νόμον* K || **144** *παθεῖν . . . προλαμβάνου* Comp. II, *μαθεῖν . . . προλάμβανε* K | *σε*] *δὲ* Mk. || **146** *λανθάνει θεόν* mon. 626

Μεν. Πράσσων καλῶς μέμνησο τῆς δυσπραξίας,
ὡς γὰρ τὸ πράσσειν καὶ τὸ μὴ πράσσειν σκόπει.
Φιλ. Ἐὰν θελήσῃς χρημάτων σωροὺς ἔχειν,
σωροὺς ἔχειν δεῖ καὶ καλῶν φρονημάτων.
Μεν. †Ἔστι πρῶτον τῶν καλῶν δικαιοκρισία·†
ὅρα τὸ κέρδος μὴ τέκῃ σοι ζημίαν.
Φιλ. Βίον πορίζου πάντοθεν πλὴν ἐκ κακῶν.
οὐκ ἔστιν οὐδὲν χεῖρον αἰσχροκερδίας.
Μεν. Ὅταν πονηροῦ πράγματος κέρδος λάβῃς,
τοῦ δυστυχεῖν νόμιζε σ' ἀρραβῶν' ἔχειν.
Φιλ. Πρόκρινε κέρδο⟨υ⟩ς τοῦ πονηροῦ ζημίαν·
⟨λυπεῖ γὰρ ἡμῖν ζημία βραχὺν χρόνον,⟩
κακὸν δὲ κέρδος ὅλον ἀναιρεῖ ⟨τὸν⟩ βίον.
Μεν. Τοῖς μὲν καλῶς πράττουσι προστατεῖ θεός,
χαίρει δ' ὁρῶν πάσχοντας †τοὺς ἀναξίους.
Φιλ. Τὸ συνειδὸς ἡμῶν ἔνδον ἐγκεκρυμμένον
ἐπὶ τῷ μετώπῳ τὴν ἀλήθειαν φέρει.
Μεν. Μηδέποτε πειρῶ δύο φίλων εἶναι κριτής·
ἑνὸς γὰρ αὐτῶν εὐθέως ἐχθρὸς γίνῃ.
Φιλ. Κρίνει φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ.
ἐν ἀπορίαις γὰρ οὐδὲ εἷς ἔσται φίλος.

147—148 ∼Comp. III 25—26 || 152 cf. Comp. I 157 || 153 = mon. 103 || 155—156 = Comp. II 109—110 = Men. fr. 697 Kock | cf. mon. 422 || 157—157A—158 = Woelfflin p. 293, 99—101 || 157 cf. Comp. I 152 || 158 cf. mon. 755 || 159 cf. mon. 212; append. 2, 14 || 163 = mon. 472 || 165 = Pap. IX 8—9 (recto) = mon. 385 | cf. Comp. II 83—84, III 59—60 || 166 cf. mon. 725

148 καὶ τὸ δυσπράττειν σκόπει Comp. III | cf. variam lectionem ad Comp. III || 150 σωρούς σ' ἔχειν My. || 151 ἔστιν τὸ πρῶτον . . . διάκρισις Sn., δικαιοκρισία πρῶτόν ἐστι τῶν καλῶν My. || 153 βίον . . . κακῶν mon. 103, βίον πόριζε δίκαιον μὴ ἐκ κακῶν K || 154 αἰσχροκερδίας My., αἰσχροκερδείας K || 155 ὅταν πονηροῦ Schm., ὅτ' ἐκ πονηροῦ K, ὅταν ἐκ πονηροῦ Comp. II || 156 τοῦ . . . ἔχειν Comp. II, τοῦ δυστυχήσει μᾶλλον ἀρραβῶν' ἔχε K || 157 suppl. Jk. ex Woelfflin || 157A om. K, habet Woelfflin || 158 δὲ Jk. ex Woelfflin, γὰρ K | τὸν add. Jk. ex Woelfflin || 160 πάσχοντας] πάσχειν τι Sn. || 164 ἐχθρὸς εὐθέως ἔσῃ Chr.

Μεν. *Ὁ ⟨τῷ⟩ φίλῳ πεσόντι {συμ}παραμένων φίλος*
ἀδελφὸς οὗτος καὶ φίλος καὶ συγγενής.
Φιλ. *Δοκιμάζεται πᾶς οὐ πεπλασμένος φίλος*
φιλίαν φίλου στέργοντος, {καὶ} οὐ τὰ χρήματα.
Μεν. *Πένητα ὁ συλῶν οὔ †τινα ἔχων ἀπέρχεται†*
πολλὰ καταλείψας δάκρυα καὶ στενάγματα.
Φιλ. *Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς·*
φίλος με λυπῶν οὐδὲν ἐχθροῦ διαφέρει.
Μεν. *Ὅταν φίλος σου κατὰ φίλου μέλλῃ λέγειν,*
μὴ τῷ λόγῳ πίστευε, ἀλλ' αὐτὸν σκόπει.
ὁ γὰρ προχείρως πρὸς σὲ διαβάλλων φίλον
ταὐτὸν ποιήσει καὶ κατὰ σοῦ πρὸς ⟨τὸν⟩ φίλον.
Φιλ. *Ὅταν μάλιστα ζῆν ἀκινδύνως θέλῃς,*
†ἐχθροὺς ἀπίστει τοὺς λέγοντας ἐν δόλῳ.†
Μεν. *Εὐχαὶ γὰρ ἐχθρῶν εἰσιν αἱ φίλων μάχαι.*
χαίρουσι γὰρ βλέποντες ⟨εἰς⟩ ἀψιμαχίας.
Φιλ. *Οὔθ' οἱ φίλοι μένουσιν ἐν βίῳ φίλοι,*
οὔθ' αἱ γυναῖκες διαμένουσι σώφρονες.
Μεν. *Τίς δ' οὐχὶ θνητῶν ἐστι γινώσκων τάδε,*
ὡς πᾶς τις αὐτὸν τοῦ πέλας μᾶλλον φιλεῖ;
Φιλ. *Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,*
αὐτοὶ δ' ἁμαρτάνοντες οὐ γινώσκομεν.
Μεν. *Ἀδύνατόν ἐστι καταμαθεῖν παντὸς νόον*
φέροντα κρυπτὴν ἔνδοθεν πονηρίαν.

173 = mon. 370 = Pap. X 6 | cf. mon. 514, 534 || **174** = mon. 805 || **179–180** cf. mon. 237 || **185–186** ~ Eurip. Med. 85–86 || **180** cf. mon. 560, 814 || **187–188** = mon. 57–58 cum adnotatione

167 add. et del. My. || **169** *πᾶς οὐ* Sn., *γὰρ ὁ* K || **170** *καὶ* ante *οὐ* del. My. || **169–170** *δοκιμάζεται γὰρ εὖ πεπλασμένος φίλος* | *φιλίαν φιλῶν φιλοῦντος οὐ τὰ χρήματα* My. || **171** *πένηθ' ὁ συλῶν ὀλίγ' ἔχων* My. || **174** *με λυπῶν οὐδὲν ἐχθροῦ* mon. 805, *γὰρ ὁ λυπῶν οὐδὲν ἐχθρῶν* K || **175** *μέλλῃ* Sn., *μέλῃ* K, *θέλῃ* Mk. || **176** *πίστευε*] *πίστευσον* My. | *σκόπει* My., *ὅρα* K || **178** *ταὐτὸν ποιήσει* My., *ποιήσει τοῦτο* K | add. My. || **179** *ἀκινδύνως θέλῃς* Sn., *ἐθέλῃς ἀκινδύνως* K || **180** *ἐχθροὺς ἐπίστω τοὺς* My. | *ἐχθροῖς ἀπίστει τοῖς λέγουσιν ἐν δόλῳ* Jk. || **182** *εἰς* add. Sn. || **183** *οὔθ' οἱ φίλοι* My., *οὔτε φίλοι* K || **185–186** *θνητῶν; ἄρτι γιγνώσκεις τόδε* Eurip. Med. 85 | *ὡς πᾶς τις αὐτὸν* Jk. ex Eurip. Med. 86, *οὐ γάρ τις αὐτῶν* K || **180** *παντὸς* My., *τινὸς* K || **190** *ἔνδοθεν* Jk., *ἔνδοθι* K

Φιλ. *Κρεῖττον σιωπᾶν ἐστιν ἢ μάτην λαλεῖν.*
πολλὴν γὰρ ἀβλάβειαν ἡ σιγὴ φέρει.
Μεν. *Φέρ' ἐγκρατῶς ἔνδειαν ὡς εἰδὼς ὅτι*
†ἀπόντος ἔργου τὸ ἐγκρατεύεσθαί σε δεῖ.†
Φιλ. *Μισῶ πένητα πλουσίῳ δωρούμενον·*
ἢ μωρός ἐστιν ἢ πλανᾶσθαι βούλεται.
Μεν. *Αἰσχύνομαι πλουτοῦντι δωρεῖσθαι φίλῳ,*
μὴ μ' ἄφρονα κρίνῃ καὶ διδοὺς αἰτεῖν δοκῶ.
Φιλ. *Ὅταν φίλον σου δοκιμάσαι θέλῃς ποτέ,*
μυστήριόν σου ψευδὲς ⟨αὐτῷ⟩ προσανάθου.
Μεν. *Πένης ὑπάρχων ἂν γένῃ ποτὲ πλούσιος,*
μέμνησ' ἐκείνης τῆς τύχης, ὅτ' ἦς πένης.
Φιλ. *Ἂν δυστυχῇς, ἄνθρωπε, μὴ λυποῦ μέγα.*
τῆς γὰρ τύχης τὸ μέλλον οὐκ ἐπίστασαι.
Μεν. *Γνώμην πονηρὰν εὐκόλως τρέφει γυνή.*
ὁ τρόπος γὰρ αὐτῆς †ἐγγυμνάζεται† κακοῖς.
Φιλ. *Πιθανὴν γυναῖκα ⟨δ'⟩ ὁ τρόπος εὔμορφον ποιεῖ.*
πολὺ γὰρ διαφέρει σεμνότης εὐμορφίας.
Μεν. *Γυναῖκα †ὁ διδάσκων γράμματα γινωσκέτω*
ὅτι ἀσπίδι προσπορίζει φάρμακα.†

191 ∼ mon. 409 | cf. Comp. I 129; mon. 258, 292, 306, 710 || **192** = Comp. I 131 || **195** = Pap. II 12 = mon. 475 = Comp. I 290, 292 = Comp. II 51 || **197—198** = Comp. II 49—50 = Men. fr. 1096 Kock ∼ Eurip. fr. 969 TGF² || **201—202** cf. mon. 499 || **204** cf. mon. 608; Comp. I 256 || **207—208** = Comp. III 7—8 ∼ Philem. fr. 170 Kock || **209—210** cf. Comp. III 1—2 (Men. fr. 702 Kock)

191 *κρεῖττον σιωπᾶν ἐστιν* mon. 409, *κρείττων ἐστὶν σιωπᾶν* K | *λαλεῖν μάτην* mon. 409 || **193** *ὡς*] *εὖ* My. || **194** *ἔργου γ' ἀπόντος ἐγκρατεύεσθαί σε δεῖ* Sn., *ἔργου πρὸ παντὸς ἐγκρατεύεσθαί σε δεῖ* My. || **197—198** *αἰσχύνομαι . . . δοκῶ* Comp. II 49—50, *αἰσχύνομαί τι δωρῆσαι πλουσίῳ φίλῳ* | *μή μ' ἄφρονα κρίνας ἄνουν εἶναι δοκεῖ* K || **200** *τί* post *σου* del. Sn. | *αὐτῷ* add. My. || **202** *μέμνησ' ἐκείνης . . . ὅτ' ἦς πένης* My., *μέμνησο ἐκείνης . . . ὅτε ἧς πεινῶν* K || **203** *ἂν* Schm., *ἐὰν* K || **205** *τρέφει* Sn., *δίδωσι* K || **206** *κακοῖς γὰρ αὐτῆς ὁ τρόπος ἐγγυμνάζεται* My. || **207** *δ'* add. Mk. || **209** *γυναῖχ' ὁ διδάσκων γράμματα εὖ γινωσκέτω* My. || **210** *ὅτι προσπορίζει φοβερὰ φάρμακ' ἀσπίδι* My., *ὅτ' ἀσπίδι δεινῇ προσπορίζει φάρμακον* suppl. Sn. ex Comp. III

Φιλ. *Γένος τὸ θηρῶν ἡμεροῦτ' ὀλίγον ⟨ποτέ⟩,*
ὁ δὲ τῆς γυναικὸς τρόπος οὐκ ἀλλάσσεταί ποτε.
Μεν. *Μηδέποτε πειρῶ σκαμβὸν ὀρθῶσαι κλάδον·*
ἐκεῖ νένευκεν οὗ φύσις βιάζεται.
Φιλ. *Ἐὰν γυνὴ γυναικὶ κατ' ἰδίαν λαλῇ,*
μεγάλων κακῶν θησαυρὸς ἐξορύττεται.
Μεν. *Γνώμην μεγίστην τῷ φιλοῦντι μὴ λέγε·*
γνώμη γὰρ ἰδίᾳ τὸ κακὸν ἡδέως ποιεῖ.
Φιλ. *Κἂν μέχρι νεφέων τὴν ὀφρὺν ἀνασπάσῃς,*
ὁ θάνατος αὐτὴν πᾶσαν ἑλκύσει κάτω.
Μεν. *Κἂν μυρίων γῆς κύριος πηχῶν ἔσῃ,*
θανὼν γενήσῃ τάχα μόλις πηχῶν τριῶν.
Φιλ. *Ὁ πλέων τὸ πέλαγος ἠγριωμένον ⟨μιᾶς⟩*
ἀπὸ πήχεώς {μιᾶς} γε τῷ θανάτῳ παρίσταται.
Μεν. *Ἐὰν πένητα γυμνὸν ἐνδύσῃς ποτέ,*
οὐδὲν ἐποίησας, ἂν λόγοις ὀνειδίσῃς.
Φιλ. *Καλῶς ποιήσας καὶ κακῶς ὀνειδίσας*
ἀψινθίῳ ⟨'π⟩έμιξας Ἀττικὸν μέλι.
Μεν. *†Ἐχθρὸς παρ' ἐχθροῦ λαβάνων* (sic) *ἐπεπτώκει.†*

211—212 cf. mon. 342 || **213—214** ~ Comp. III 3—4 ~ Men. fr. 711 Kock || **215—216** = Comp. III 3—4 || **217—218** ~ Comp. III 9—10 || **219—220** = Comp. II 55—56 = Comp. III 23—24 (Philem. fr. 174 Kock) || **221—222** ~ Comp. II 57—58 ~ Comp. III 21—22 || **225—226** cf. Comp. III 35—36 (Philem. fr. 176 Kock); Comp. II 101—102 || **227** ~ Philem. fr. 140 et 141, 1 | cf. Comp. II 97 || **228** ~ Comp. II 104

211 *ἡμεροῦτ' ὀλίγον* Sn., *ἡμεροῦται ὀλίγον* K | *ποτέ* add. Sn. || **212** *τὸ δὲ τῆς γυναικὸς οὐδαμῶς ἀλλάσσεται* Sn. || **214** *οὗ φύσις* Jac., *ὅπου ἡ φύσις* K, *ὅπου φύσις* Comp. III || **215** *ἐὰν ... γυναικὶ* Comp. III, *ὅταν ... γυναιξὶ* K | *λαλῇ*] *ὁμιλεῖ* Comp. III || **217** *γνώμην κακίστην τῇ γυναικὶ μὴ λέγε* Comp. III || **218** *γνώμη γὰρ ἰδίᾳ* Comp. III, *γνώμην γὰρ ἡδεῖα* K || **219** *νεφέων* Mor., *νεφῶν* K || **221** *κἂν ... ἔσῃ* Comp. II, *κἂν κύριος ἦσθα μυρίων πηχῶν μόνος* K, *κἂν μυρίων γῆς κυριεύσῃς πήχεων* Comp. III || **222** *γενήσῃ* Comp. II et III, *κυριεύσεις* K | *μόλις πηχῶν τριῶν*] *τριῶν ἢ τεσσαρῶν* Comp. II et III || **223** *μιᾶς* add. My. || **224** *μιᾶς* post *πήχεως* del. My. || **225** *πένητα γυμνὸν* My. ex Comp. III, *γυμνὸν πένητα* K || **228** *'πέμιξας* Sn., *ἔμιξας* K, *κατέπασας* Comp. II

Φιλ. Ἀνὴρ ὁπόταν γυναῖκα καταβλάψαι θέλῃ,
θησαυρὸν ἐχέτω ⟨πλούσιον⟩ φρονημάτων.
Μεν. Χρυσὸς δόλος πέφυκε καὶ γυνὴ δόλος.
ἀμφότερα ταῦτα ⟨τοὺς⟩ φίλους ἐχθροὺς ποιεῖ.
Φιλ. Προπετοῦς ⟨παρ'⟩ ἀνδρὸς μὴ φοβοῦ λάβρον στόμα·
ὁ γὰρ σιωπῶν ἔνδον ἐγκρύπτει δόλον.
Μεν. Γέρων γενόμενος μὴ γάμει νεωτέραν·
ἄλλον γὰρ ἕξει· παιδαγωγήσῃ δὲ σύ·
Φιλ. Οὐκ ἔστιν εὑρεῖν τὴν τροφὴν ἄνευ κόπου.
κάμνουσι πάντες τῆς ζόης ταύτης χάριν.
Μεν. Οἱ τῶν πενήτων ἐργατῶν ἀεὶ κόποι·
εἰς τὰς τροφὰς χωροῦσι τὰς τῶν πλουσίων.
Φιλ. Ὁ πλούσιος πένητας οὐκ ἀσπάζεται·
ἀλλὰ παραπέμπει μηδὲν ἠδικηκότας.
Μεν. Ὁ φίλον βεβαίου θυμὸν ἐγκρατῶς φέρων
οὗτος πέφυκε μέχρι τέλους τούτου φίλος.
Φιλ. Μακάριος, ὅστις ἔτυχε γενναίου φίλου·
φιλίας γὰρ οὐδέν ἐστι τιμιώτερον.
Μεν. Γαμῶν γυναῖκα κλαῖε καὶ θάπτων γέλα·
γυναῖκας οἱ θάπτοντες εὐτυχοῦσι γάρ.
Φιλ. Καλὸν τὸ θνήσκειν, οἷς ὕβριν τὸ ζῆν φέρει·
†ζῇ γὰρ πονηρῶς καὶ τὸ φῶς βλέπει σκότος.†
Μεν. Ἄνθρωπον ὄντα πάντα προσδοκᾶν σε δεῖ.
ἀλλάσσεται γὰρ πάντα κοὐδὲν παραμένει.

236 = mon. 168 | cf. Comp. III 51 || 238 cf. mon. 97, 570 || 240—241 ~ Comp. II 27—28 || 244—245 cf. mon. 604 || 246 = mon. 471 || 247 ~ mon. 843 || 248 cf. mon. 151 || 250 = mon. 410 || 252—253 cf. Stob. 4, 44, 29 (Men. II fr. 46); mon. 813 || 252 = Comp. I 41

230 ὁπόταν γυναῖκα καταβλάψαι My., γυναῖκα ὁπόταν βλάψαι K || 231 θησαυρὸν . . . φρονημάτων Sn., μεστὸν ἐχέτω θησαυρὸν φρονημάτων K || 232 χρυσὸς δόλος πέφυκε My., δόλος πέφυκε χρυσὸς K || 233 τοὺς add. My. || 234 παρ' add. Sn. || 237 παιδαγωγήσῃ Sn., παιδαγωγήσεις K || 239 ζοῆς My., ζωῆς K || 240 τῶν γὰρ πενήτων ἐργατῶν ἀεὶ πόνοι Comp. II || 242 οὐκ Sn., οὐδέποτ' K οὐδ' My. || 243 παραπέμπει My., παραπέμπεται K || 244 φίλου... φέρειν My. || 246 γενναίου mon. 471. χρηστοῦ K || 247 φιλίας ψυχῆς mon. 843 || 249 γυναῖκας ... γάρ Stu., γυναῖκας γὰρ οἱ θάπτοντες εὐτυχοῦσι K || 250 ὕβριν τὸ ζῆν mon. 410 (Γ), τὸ ζῆν ὕβριν K || 253 γὰρ πάντα κοὐδὲν παραμένει My., γὰρ τὰ πάντα καὶ οὐ προσμένει K

Φιλ. Μηδέποτε σαυτὸν δυστυχῶν ἀπελπίσῃς·
καιρῶν γάρ εἰσι μεταβολαὶ καὶ ⟨τῆς⟩ τύχης.
Μεν. Ἂν εὐτυχῇς, ἄνθρωπε, μὴ φρόνει μέγα·
πάλιν γὰρ ὄψει τῆς τύχης μετατροπήν.
Φιλ. Ὅτ' εὐτυχεῖς, μέμνησο τῆς προτέρας τύχης.
μὴ λέγε τίς ἦσθα πρότερον, ἀλλὰ νῦν τίς εἶ.
πρὸς τὴν παροῦσαν ⟨πάντοθ'⟩ ἁρμόζου τύχην.
Μεν. Ἀνὴρ γυναικὸς λαμβάνων συμβουλίαν
πεσεῖν δεδοικὼς βούλεται πάλιν πεσεῖν.
Φιλ. †Τὸν δοῦλον ὦ τᾶν προσλαβὼν ὃν ὠνήσω†
†τύχην ἔχοντα δούλην, γνώμην δ' ἐλευθέραν.†
Μεν. †Ἐλευθέρους δούλευε† κοὐχ ἕξεις δούλους·
δυσὶ δούλευε καὶ νόμοις καὶ δεσπόταις.†
Φιλ. Δούλευε, δοῦλε, μᾶλλον ἐκ βουλήσεως·
βάρος γὰρ ἕξεις μᾶλλον ἐκ κελεύσεως.
Μεν. Μίαν πρόνοιαν τῶν ἄνω καὶ τῶν κάτω
θεὸν νόμιζε καὶ σέβου παντὶ σθένει·
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου,
καὶ μήτ' ἐρώτα μήτε μανθάνειν θέλε·
οὐ γὰρ θέλω σε μανθάνειν, τί δὴ θεός.
Φιλ. Πόντου, γυναικός, ⟨καύματος⟩, πυρός, θηρὸς
χειρότερός ἐστιν ὁ προδότης ⟨ὁ⟩ τῶν φίλων.

254 = mon. 469 || 255 cf. mon. 734 || 256 cf. Comp. I 204; mon. 350, 581 || 257 ∼ Comp. IV 10 || 258 = Men. fr. 712, 2 Kock | cf. Comp. I 147 et 201–202 || 259–260 = Philem. fr. 186 et 187 Kock || 258–260 = Comp. III 38–40 || 261–262 = Comp. III 43–44 = Philem. fr. 177 Kock | cf. mon. 486 || 265–266 cf. Comp. II 117–119 || 267–268 ∼ Comp. I 102–103 || 269–273 = Comp. IV 16–20 || 270–273 cf. Comp. II 77–81; mon. 723 || 274–275 ∼ Comp. IV 35–36

254 *μηδέποτε* mon. 469, *μηδέπω* K || 255 *καιρῶν ... καὶ τῆς τύχης* My., *καιροῦ ... καὶ τύχης* K || 256 *φρόνει μέγα* Sn. ex mon. 581 et Comp. I 203, *μέγα φρόνει* K || 257 *τῶν κακῶν περιτροπήν* Comp. IV || 258 *προτέρας* Comp. III, *πρώτης* K || 259 *μὴ λέγε τίς ἦσθα πρότερον, ἀλλὰ νῦν τίς εἶ* Comp. III, *λέγε τίς ἦν τὸ πρῶτον καὶ νῦν τίς εἰμί* K || 260 *πάντοθ' ἁρμόζου τύχην* Comp. III, *ἁρμόζου τύχην ἀεί* K || 262 *πεσεῖν ... πεσεῖν* Comp. III, *παισὶν ἐοικὼς φαίνεται ἧπερ ἀνὴρ* K || 265 *ἐλευθέρως δούλευε κοὐχ ἕξεις δούλως* R. Müller || 267 *ἐκ προθυμίας* Comp. I 102 || 271 *σέβου* Comp. IV 18, *χρόνοις* K || 272 *μήτε* Jk., *μηδὲ* K || 274 add. Mk. ex Comp. IV | *θηρός, πυρὸς* Comp. IV 35 || 275 corr. Mtt.

Μεν. Πενία καθ' αὑτὴν ⟨ἐστιν⟩ ἰσχυρὰ νόσος·
ἔρωτα {δὲ} προσλαβοῦσα δύο νόσους νοσεῖ.
Φιλ. Δεινὸν πενία· †κακὸν δυστυχία·
σοφοῦ δὲ† ἀνδρὸς πάντα γενναίως φέρειν.
Μεν. Ὅσον διαφέρει τοῦ θανεῖν τὸ ζῆν καλῶς,
τοσοῦθ' ὁ θάνατος διαφέρει τοῦ ζῆν κακῶς.
Φιλ. Ἄνθρωπος ὢν μηδέποτε τὴν ἀλυπίαν
αἰτοῦ παρὰ θεῶ⟨ν⟩, ἀλλὰ τὴν μακροθυμίαν.
Μεν. Ὅταν δ' ἄλυπος διὰ τέλους εἶναι θέλῃς,
†ἢ θεὸν εἶναί σε δεῖ, ἢ νεκρόν.†
Φιλ. Πρόσεστιν α⟨ἰ⟩εὶ τῷ πένητ' ἀπιστία·
κἂν σοφὸς ὑπάρχῃ, κἂν λέγῃ τὸ συμφέρον.
Μεν. †Οὐδέποτε πένης ἐπὶ δίκαιος δίκαιος εὑρέθη.†
ἀεὶ δ' ὁ πλοῦτος τὴν πενίαν καταισχυνεῖ.
Φιλ. Μισῶ πένητα πλουσίῳ δωρούμενον·
αὐτὸς γὰρ αὑτοῦ τὸν βίον λυμαίνεται.
Μεν. Μισῶ πένητα πλουσίῳ δωρούμενον·
ἔλεγχός ἐστι τῆς ἀχορτάστου τύχης.
Φιλ. Ὅταν ⟨δ'⟩ ἴδῃς εἰς ὕψος ἠρμένον τινά,

276—277 = Comp. IV 53—54 || 276 cf. Stob. 4,32,28 (Diphil. fr. 105, 3 Kock) || 279 cf. mon. 15 cum adnotatione, 633 || 282—285 ~ Comp. II 201—204 || 286—287 = Comp. II 29—30 = adesp. fr. 119, 1—2 TGF² ~ Philem. fr. 102, 1—2 Kock | cf. mon. 752; Comp. II 23 et 32 || 288 cf. mon. 62; Comp. IV 52 || 290 = Pap. II 12 = mon. 475 = Comp. I 195, 292 = Comp. II 51 || 291 cf. Pap. IV 2; mon. 845 || 292—293 = Comp. II 51—52 (Men. fr. 690 Kock) || 294—296 = Comp. II 111—112, 114 ~ Stob. 3, 22, 5 (Eurip. fr. 1040 TGF²) || 294—297 ~ Maxim. 34, 4 et Anton. 2, 74

276 καθ' αὑτήν ἐστιν Comp. IV, κατ' αὐτὴν K || 277 προσλαβοῦσα Comp. IV, προσλαμβάνουσα K || 278 δεινόν τι πενία καὶ τι δυστυχία κακόν tentavit Stu. || 279 δὲ] γὰρ My. || 281 τοσοῦθ' ὁ Sn. τοσοῦτον K, θάνατος διαφέρει Stu., διαφέρει θάνατος K || 283 αἰτοῦ Comp. II, αἴτει K | θεῶ⟨ν⟩ add. Hn. || 284 ὅταν ... θέλῃς Comp. IV, ἐὰν ἄλυπος ἀεὶ διαμεῖναι θέλῃς K || 285 ἢ δεῖ θεόν σ' εἶναί τιν' ἢ τάχα δὴ νεκρόν Comp. II || 286 αἰεὶ τῷ πένητ' Mor., ἀεὶ τῷ πένητι K | τῷ γὰρ πένητι μὲν πρόσεστ' ἀπιστία Mk. || 287 ὑπάρχῃ ... λέγῃ Comp. II, ἐστιν ... λέγει K || 288 πένης δίκαιος ἐπὶ δίκης οὐχ εὑρέθη My. || 289 καταισχυνεῖ Sn., καταισχύνει K || 291 αὐτὸς γὰρ αὑτοῦ My., οὗτος γὰρ αὐτοῦ K || 293 ἔλεγχος ... τύχης Comp. II, ἐλέγχει γὰρ αὐτοῦ τὴν ἀχόρταστον γνώμην K || 294 δ' add. Mk. | ὅταν ἴδῃς K et Stob. (libri), ἐπὰν Comp. II, ἐὰν Max. Ant. et Stob.

κακῶς τε πλούτῳ καὶ τύχῃ γαυρούμενον,
τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα·
ἐπαίρεταί {γὰρ} τις μεῖζον, ἵνα μεῖζον{ως} πέσῃ.
Μεν. *Ἕως μὲν καθῆσο τὰς ὀφρῦς ἀνεσπακώς,*
†ᾤμην σε τῶν σοφῶν σοφόν τινα·†
ὅ⟨πο⟩τε δ' ἐγερθεὶς εἰς λόγους ἐλήλυθας,
ἐφάνης χελώνης δέρμ' ἔχων, φρένας δ' ὄνου.
ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
Φιλ. *Ὁ περιφέρων μοι τὴν λεοντείαν δορὰν*
πήραν τε καὶ πώγωνα καὶ βάκτρον μέγα
σιγῶν δοκεῖς μοι φρόνιμος εἶναι καὶ σοφός.
τύπους γὰρ ὡς ἔοικε τῶν σοφῶν ἔχεις
ὄνος πεφυκὼς περ καὶ† σάγμ' ἔχων μέγα.
λάλησον, ἵνα μάθωμεν ὡς ἄνθρωπος εἶ.
εἰ δ' ἔτι σιωπᾷς, γέγονας ἀνθρώπου σκιά.
ἔνιοι γὰρ ὡς δοκοῦντες εὖ φρονεῖν μάλα
πώγωνα περιφέρουσιν ἐξησκημένον
†φορτίον ἄχρηστον κοὐ χρήσιμον.†
εἰ γάρ τιν' εἶχον δύναμιν αἱ πολλαὶ τρίχες,
οὐκ ἄν ποθ' ὁ λύκος τὸν τράγον κατήσθιε.

302 = Pap. VII 11 = mon. 27 = Men. II fr. 66

(corp. Par.) | *πονηρὸν εἰς ὕψος* Comp. II Max. Ant. Stob. (corp. Par.), *πρὸς ὕψος* Stob. (libri)

295 *κακῶς ... γαυρούμενον* Comp. Π, *ὕψει τε πολλῷ καὶ πλούτῳ γαυρούμενον* K, *λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον* Stob. (libri) || **296** *τούτου ... προσδόκα* Stob. (libri), *τούτου ταχίστην πτῶσιν ἀεὶ προσδόκα* K, *τούτου τάχιον νέμεσιν ἥξειν προσδόκα* Comp. Π, *τούτου τάχιον μεταβολὴν προσδόκα* Max. Ant. || **297** *ἵνα καὶ μεῖζον πέσῃ* Max. Ant., corr. Mtt. ex Max. Ant. || **298** *καθῆσο* Jk., *ἐκάθου* K, *ἐκάθησο* My. || **299** *ᾤμην σέ γ' εἶναι τῶν σοφῶν σοφώτατον* My. || **300** *ὅποτε* Sn., *ὅτε* K || **302** *λόγου* mon. 27 (K), *λόγων* K || **303–305** *ὁ περιφέρων ... καὶ σοφός* Wil. (apud My.), *ὁ τὴν δορὰν μοι περιφέρων τὴν λεοντείαν* | *βάκτρον τε καὶ πώγωνα πήραν μεγάλην* | *σιγῶν φρόνιμος εἶναι δοκεῖς μοι καὶ σοφός* K || **306–307** del. Wil. || **307** *καίπερ πεφυκὼς σάγμ' ἔχων ὄνος μέγα* Erbse || **306** *ὡς* Sn. *ὅτι* K || **309** *δ' ἔτι* My., *δὲ* K, *γὰρ* Wil. || **310** *ἔνιοι ... μάλα* My., *ἔνιοι γὰρ δοκοῦντες φρονεῖν εὖ μάλα* K || **313** *τιν'* My., *πῶς* K || **314** *ποθ' ὁ* My., *ποτε* K | *κατήσθιε* Stu., *ἤσθιε* K

II

ΜΕΝΑΝΔΡΟΥ ΚΑΙ ΦΙΛΙΣΤΙΩΝΟΣ ΣΥΓΚΡΙΣΙΣ

Μεν. Ὁ πᾶσιν ἀρέσας ἐν σοφοῖς ποιήμασιν,
ὁ τοῦ βίου τὴν πρᾶξιν ἐπιδείξας σοφοῖς,
Μένανδρος ὁ σοφὸς νῦν πάλιν παραινέσω,
χαίρειν προ{σ}τάξας τοῖς ἀκούουσιν νέοις,
ὅπως ἕκαστος †ἀκούων μου μανθάνῃ
τὴν τοῦ βίου †εὐθεῖαν, ἣν ὑμῖν φράσω,
παρηγορῶν ἕκαστον ἐς τὸ συμφέρον,
ἔχων ἀγῶνα πρὸς Φιλιστίωνα νῦν,
τὸν τερπνὸν καὶ φιλητὸν καὶ βιωφελῆ,
ἐκ τῶν κατὰ μέρος ἐκλεγέντων πραγμάτων.
Ἀρξόμεθα λοιπὸν περὶ τύχης ⟨λέγειν⟩ σοφῶς.

Μένανδρος. περὶ τύχης.

Ὅταν τις ἡμῶν †ἀμέριμνον† ἔχῃ τὸν βίον,
οὐκ ἐπικαλεῖται τὴν τύχην εὐδαιμονῶν·
ὅταν δὲ λύπαις περιπέσῃ καὶ πράγμασιν,
εὐθὺς προσάπτει τῇ τύχῃ τὴν αἰτίαν.
Φιλ. Μηδέποτε μέμφου τὴν τύχην εἰδὼς ὅτι
17 καιρῷ πονηρῷ καὶ τὰ θεῖα δυστυχεῖ.
17 A . . . . | μή

12—15 = Men. fr. 1083 Kock ~ Stob. 2, 46, 11 || 16—17 = Philem. fr. 165 Kock

1 πᾶσιν] πάντας Hn. || 3 παραινέσω Stu., παραινῶ α, παραινέω β || 4 προτάξας Hn., προστάξας codd. | ἀκούουσιν νέοις Rl, νέοις ἀκούουσι cett. || 5 ἀκούων] πυθόμενος Sn. || 6 εὐθεῖαν] δίαιταν Erbse || 7 παρηγορῶν Ru, παρεγγορῶ α | ες] εἰς Ru | versum tamquam delendum includit P || 9 βιοφελῆ Q || 10 ἐκ λεγόντων α || 11 add. Stu. | τὰ περὶ τῆς τύχης λέγειν Mor. || 12 ἀμέριμνον ὅταν ἔχῃ τις ἡμῶν τὸν βίον vel ὅταν μὲν ἀμέριμνόν τις ἡμῶν ζῇ βίον Mk. | τὸν ante βίον om. Stob. || 13 εὐδαίμονα Stob. || 14 ἐπὴν Stob. | ἐπιπέσῃ Ru

λύπει σεαυτὸν τοῦτο γιγνώσκων ὅτι,
ὅταν ποτ' ἀνθρώποισιν ἡ τύχη γελᾷ,
πάντων ἀφορμὴ τῶν καλῶν εὑρίσκεται·
ὅταν δὲ δυστυχῇ τις, οὐδ' εὐφραίνεται.
ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη.

Μεν. *περὶ πενίας.*
Πένης λέγων τἀληθὲς οὐ πιστεύεται.
πένητος οὐδέν ἐστι δυστυχέστερον·
ἅπαντα μοχθεῖ κἀγρυπνεῖ κἀργάζεται,
ἵν' ἄλλος ἐλθὼν μεταλάβῃ κεκτημένος·
τῶν γὰρ πενήτων ἐργατῶν ἀεὶ πόν⟨οι⟩
⟨εἰς⟩ τὰς τροφὰς χωροῦσι τά⟨ς⟩ τῶν πλουσίων.
Φιλ. *Πρόσεστιν αἰεὶ τῷ πένητ' ἀπιστία·*
κἂν σοφὸς ὑπάρχῃ, κἂν λέγῃ τὸ συμφέρον,
δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν κακῶς.
τῶν γὰρ πενήτων πίστιν οὐκ ἔχει λόγος·
ἀνὴρ δὲ πλουτῶν, κἂν ἄγαν ψευδηγορῇ,
δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν σαφές.

Μεν. *περὶ γήρους.*
Ὦ γῆρας ἐχθρὸν σωμάτων ἀνθρωπίνων,

18–19 cf. Stob. 4, 44, 4 (Eurip. fr. 174 TGF[2]) || 18–22 = Philem. fr. 110, 111 Kock || 22 = Comp. I 91 = Stob. 1, 6, 15 (Chaerem. fr. 19 TGF[2]) || 23 = Men. fr. 856 Kock | cf. mon. 752; Comp. I 286, II 32 || 24–26 = Men. fr. 597 Kock | cf. mon. 660; Comp. I 39; Stob. 4, 32, 3 (Diphil. fr. 104 Kock) || 27–28 ~ Comp. I 240–241 || 29–30 = Comp. I 286–287 || 29–34 ~ Philem. fr. 102 Kock || 35–38 = Men. fr. 552 Kock || 35–36 = mon. 869–870 | cf. mon. 39–40, 830

18 *μὴ λύπει σεαυτὸν* Dobr. (Adv. 2 p. 291), *μὴ λυπῇς σαυτὸν* codd. | *σεαυτὸν* Mk., *αὐτὸν* Mor. || 21 *δυστυχῇ* Mk., *δυστυχεῖ* codd. || 22 *νικᾷ*] *δὲ κυκᾷ* Hn. || 24 *οὐδέν ἐστι* Grot., *ἀνδρὸς οὐκ ἔστι* α, *ἀνδρὸς οὔτι* Nck. || 26 *ἵν'* Ru, *ἵνα* cett. | *κεκτημένος* Hms. (Ind. Bonn. aest. 1867), *καὶ κτήσεται* codd. | *κτῆσίν τ' ἔχῃ* Mk. || 27–28 *ἀεὶ πόνοι* | *εἰς τὰς τροφὰς χωροῦσι τὰς* Sn. ex Comp. I, *ἀεὶ ποιεῖς* | *τὰς τροφὰς προχωροῦσι τὰ* α, *ἀεὶ πόνος* | *ποιεῖ προχωρεῖν τὰς τροφὰς* Stu. | *πόνοι*] *κόποι* Comp. I || 29 *πρόσεστιν αἰεὶ τῷ πένητ'* Mor., *πρόσεστιν δὲ πένητι* α, *πρόσεστιν δὲ τῷ πένητι* Ru, *ἀεὶ τῷ* Stu. | *τῷ γὰρ πένητι μὲν πρόσεστ' ἀπιστία* Mk. || 30 *κἂν*[2]] *καὶ* Mk. | *τὸ*] *τι* Mk. || 31 *κακῶς*] *κακόν* Sn. || 34 *ἀκούουσιν σαφές* Dobr., *ἀκούουσιν ἀσφαλές* codd., *κλύουσιν ἀσφαλές* Mk.

ἅπαντα συλῶν ⟨τὰ⟩ καλὰ τῆς εὐμορφίας
καὶ μεταχαράσσου τὴν μὲν ἀνδρίαν μελῶν
εἰς ⟨τ⟩ἀπρεπές, τὸ δὲ τάχος εἰς ὄκνον πολύν,
[ὁ νοῦς· ὅτι οὐκ ἔνεστιν δύναμις τοῦ σώματος·]
φεύγει δὲ πάντα καὶ τὸ λαμπρὸν ὀμμάτων.
Φιλ. Ἐὰν γένηται πλούσιος γεγὼς γέρων,
καλὸν τὸ γῆράς ἐστιν ἐπὶ τούτῳ μόνον·
†ἔχει γὰρ χειραγωγὸν τὸν πλοῦτον ὁ γέρων.†
ἐπὰν ἴδῃς γέροντα ⟨πενιχρὸν⟩ καὶ μόνον,
μηδὲν ἐπερώτα· πάντα γὰρ κακῶς ἔχει.
καλὸν τὸ θνῄσκειν ἐστὶν †ἐπὶ τούτῳ λέγειν.
μὴ νουθέτει γέρονθ᾽ ἁμαρτάνοντά τι·
δένδρον παλαιὸν μεταφυτεύειν δύσκολον.

Μεν. περὶ πλούτου.

Αἰσχύνομαι πλουτοῦντι δωρεῖσθαι φίλῳ,
μή μ᾽ ἄφρονα κρίνῃ καὶ διδοὺς αἰτεῖν δοκῶ.
μισῶ πένητα πλουσίῳ δωρούμενον·
ἔλεγχός ἐστι τῆς ἀχορτάστου τύχης.
μὴ τὴν ὀφρὺν ἔπαιρε ⟨— × — ∪ —⟩.

41—43 = Philem. fr. 127 Kock || 44—45 cf. Stob. 4,50,51 (Philem. fr. 125 Kock) || 44—46 ~ Philem. fr. 128 Kock | cf. Stob. 4, 53, 9 (Men. II fr. 648) || 46 cf. mon. 410 (Comp. I 250) || 47—48 = Philem. fr. 147 Kock || 48 = Pap. II 4 = Pap. XIII 11 || 49—50 = Comp. I 197—198 = Men. fr. 1096 Kock ~ Eurip. fr. 969 TGF[2] (Plut. Mor. p. 384 D) || 51 = Pap. II 12 = mon. 475 = Comp. I 195, 290, 292 || 51—52 = Comp. I 292—293 (Men. fr. 690 Kock)

36 τὰ add. Mk. || 37 μεταχαράσσων α || 38 εἰς τἀπρεπές Bentl., εἰς ἀπρεπές β, εἰς ἀπρεπήν α || 40 τῶν ante ὀμμάτων del. Stu. || 41 ἐὰν β, ἐπὰν α | γεγονὼς α | γένηται . . . γέρων Mk., γέρων γένηται πλούσιος γεγώς β || 43 ὁ ante γέρων om. Rl | πλοῦτον γὰρ οὗτος χειραγωγήσοντ᾽ ἔχει Bentl. | τὸν πλοῦτον ἥν τις χειραγωγήσοντ᾽ ἔχῃ Dobr. || 44 πενιχρὸν add. Stu. | ὦ γέρον, ἐπὰν ἴδῃς γέροντα β || 45 μηδέποτ᾽ ἐρώτα Mk., μηδὲν ἔτ᾽ ἐρώτα Dobr. || 46 καλὸν δὲ θνήσκειν ἐστὶν ἐπὶ τούτῳ, λέγε Hn. || 47 γέρονθ᾽ Mor., γέροντα codd. | ἁμαρτάνοντά τι Grot., ἁμαρτάνοντά ποτε codd., ἁμαρτάνοντά που Mor. || 48 μεταφυτεύσω α || 49 δωρεῖσθαι Ru, δωρήσασθαι α et Rl | αἰσχύνομαι . . . φίλῳ] οὐ βούλομαι . . . πένης Eurip. fr. 960 || 50 κρίνῃ καὶ] κρίνῃς ἢ Eurip. fr. 960 | διδοὺς αἰτεῖν Eurip. fr. 960, διδοὺς αὐτῶν β, διδῶν αἰτεῖν α || 53—54 om. β || 53 μὴ Stu., μή τω codd. | μείζω τῆς τύχης post ἔπαιρε suppl. Stu.

μὴ οὐ †χρυσὸς† περίσημος ᾖ, ἀλλὰ† πηλὸς ᾖ.
κἂν μέχρι νεφέων τὴν ὀφρὺν ἀνασπάσῃς,
ὁ θάνατος αὐτὴν πᾶσαν ἑλκύσει κάτω.
κἂν μυρίων γῆς κύριος πηχῶν ἔσῃ,
θανὼν γενήσῃ τάχα τριῶν ἢ τεσσάρων.
Φιλ. *Ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει,*
φθόνον τ' ἐπήρειάν τε καὶ μῖσος πολύ,
πράγματά τε πολλὰ κἀνοχλήσεις μυρίας,
πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου.
ἔπειτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανών,
ἄλλοις καταλιπὼν εἰς τρυφὴν τὴν οὐσίαν.
ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω
ἔχειν τε μέτρια κἀμέριμνον ζῆν βίον,
καὶ μήτ' ἔχειν πλοῦτόν με μήτε πράγματα·
πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά.
Μεν. *περὶ θεῶν.*
Ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει
ἀνέμους, ὕδωρ, γῆν, ἥλιον, πῦρ, ἀστέρας.
ἐγὼ δ' ὑπέλαβον χρησίμους εἶναι θεοὺς
τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον ⟨μόνους⟩.
ἱδρυσάμενος τούτους γὰρ εἰς τὴν οἰκίαν,

55—58 = Comp. I 219—220 = Comp. III 23—24 (Philem. fr. 174 Kock) ‖ 57—58 ~ Comp. I 221—222 ~ Comp. III 21—22 (Men. fr. 1099 Kock) ‖ 59 cf. mon. 482 ‖ 59—67 = Stob. 4, 33, 19 (Philem. fr. 92 Kock) ‖ 68—76 = Stob. 4, 31, 30 (Men. II fr. 614) ‖ 70—76 cf. Stob. 4, 31, 13 (3—5) (Philem. fr. 65, 3—5 Kock)

55—58 om. Ru ‖ 55 *κἂν μέχρι* Ri et $α_1$, *ἐὰν γὰρ μέχρι α* | *νεφέων* Mor., *νεφῶν* codd. ‖ 57 *γῆς κυριεύσῃς πηχέων* Comp. III ‖ 58 *τάχα μόλις πηχῶν τριῶν* Comp. I ‖ 59 *τὸ πλουτεῖν* Stob., *ὁ πλοῦτος* codd. ‖ 60 *τ' ἐπήρειάν τε* Salmasius. *τε καὶ ἐπήρειαν α*, *τε κἀπήρειαν β* ‖ 61 *κἀνοχλήσεις* Bentl., *καὶ ὀχλήσεις α* Stob. | *πράγματα δὲ α* ‖ 63 *ἔπειτα μετὰ ταῦτ'* Bentl., *εἶτα μετὰ ταῦτα* codd. et Stob. ‖ 64 *καταλιπὼν* Mk., *καταλείψας* codd. et Stob. ‖ 65 *ἔχω*] *ἔχει* Mk., *θέλω* Nck. ‖ 65 A non nisi apud Stob. traditus est ‖ 66 *πλοῦτόν με* Bentl., *με πλοῦτον* codd. et Stob. ‖ 67 *κακά*] *καλά* Mor. ‖ 68 *ὁ μὲν γὰρ Ἐπίχαρμος θεοὺς* Dobr. ‖ 69 *ὕδωρ, γῆν, ἥλιον* Grot., *ἥλιον, γῆν, ὕδωρ* codd. et Stob. ‖ 70 *ἐγὼ δ'* Stob., *ἐγὼ δὲ* codd. ‖ 71 *τἀργύριον ἡμῖν* Grot., *τὸ ἀργύριον ἡμῶν* codd. et Stob. | *μόνους* Stob. (cod. Par. 1985, Cobet), om. codd., *μόνον* add. Grot. ‖ 72 *ἱδρυσάμενοι α* | *τούτους γὰρ* Stob., om. codd.

εὖξαι τί βούλει, πάντα σοι γενήσεται,
ἀγρός, οἰκίαι, θεράποντες, ἀργυρώματα,
φίλοι, δικασταί, μάρτυρες. μόνον δίδου·
αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας.
Φιλ. Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή·
πλεῖον γὰρ οὐδὲν ἄλλο τοῦ ζητεῖν ἔχεις.
εἴτ' ἔστιν εἴτ' οὐκ ἔστι, μὴ βούλου μαθεῖν.
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου.
τίς ἐστιν, ὁ θεὸς οὐ θέλει σε μανθάνειν·
ἀσεβεῖς τὸν οὐ θέλοντα μανθάνειν θέλων.

Μεν. περὶ φίλου.

Χρυσὸς μὲν οἶδεν ἐξελέγχεσθαι πυρί,
ἡ δ' ἐν φίλοις εὔνοια καιρῷ κρίνεται.
καιρῷ τὸν εὐτυχοῦντα κολακεύων φίλος
καιροῦ φίλος πέφυκεν, οὐχὶ τοῦ φίλου.
ἀπόντι μᾶλλον εὐχαριστίαν ποίει·
τῷ γὰρ παρόντι γίνετ' εὐτονώτερον.
μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ.
φρόνησιν ἀσκῶν ἄφροσιν μὴ χρῶ φίλοις.

77—81 cf. Comp. I 270—273, IV 17—20 || 77—80 = Stob. 2, 1, 5, a et b (Philem. fr. 118 a, b Kock) || 81 ~ Stob. 2, 1, 5 c (Philem. fr. 166, 1 Kock) || 82 = Philem. fr. 166, 2 Kock || 83—84 = Men. fr. 691 Kock | cf. Comp. I 165, III 59—60; Wachsmuth p. 136 || 83—86 ~ Maxim. 6, 24 (Anton. 130, p. 214) || 85—86 = Men. fr. 692 Kock || 87—88 = Men. fr. 693 Kock || 89 ~ Comp. I 45 || 90 = Men. fr. 694, 1 Kock (cf. Woelfflin 159—160)

73 *πάντως β* || 74 *ἀγρός, οἰκίαι, θεράποντες, ἀργυρώματα* Stob. et *β*, *τα* (sic) *τ' ἐν τῷ βίῳ λυσιτελοῦντα χρυσὸς ἀργυρώματα α* || 75 *δικασταί*] *βοηθοί* Mk. | *μάρτυρες* om. *α* || 76 *ἕξει α* | *τοὺς*] *καὶ* Hn. || 78 *πλεῖον γὰρ οὐδὲν*] *πόνον γὰρ οὐδὲν* Kock | *τοῦ ζητεῖν* Stob. et Ru, *τοῦ ζῆσαι* cett. || 79 *εἴτ' ἔστιν εἴτ'* Stob., *ἤ τ' ἔστιν ἤ τ'* codd. || 80 *τοῦτον*] *δ' αὐτὸν* Hn. | *δ' ὄντα* Wachsmuth || 81 *τίς*] *τί* Stob. | *οὐ θέλει σε* Stob.] *οὐ θέλεις α*, *οὐ θέλῃς σὺ β* || 82 om. Stob. | *θέλων β*, *θεόν α* || 83 inscr. *φίλων β* | *οἶδε δοκιμάζεσθαι* Max. || *ἐξελείχεσθαι α* || 84 *ἡ πρὸς φίλους δ' εὔνοια* Max. | *κρίνεται* Max. Ant., *γίγνεται* codd. || 85 *καιρῷ τὸν εὐτυχοῦντα* Grot., *καιρῷ εὐτυχοῦντα* codd. | *φίλος* Mk., *φίλον* codd. || 88 *γίνετ'* Hn., *γίνεται* codd. | *γίγνετ' εὐπορώτερον* Mk. || 89 *μήποτ' εἴπῃς* Comp. I | post 90 inscr. *περὶ δώρων* add. Hn.

Φιλ. *Ἅπαν διδόμενον δῶρον, ἂν καὶ μικρὸν ᾖ,*
μέγιστόν ἐστιν, ⟨ἂν⟩ μετ' εὐνοίας δοθῇ.
κρίσει δικαίᾳ καὶ δίδου καὶ λάμβανε,
ἐπεὶ βλαβήσῃ καὶ διδῶν καὶ λαμβάνων.
μὴ λέγ', ὅτι δώσεις, μὴ διδούς· ὁ γὰρ λέγων
καὶ τὴν ἀπ' ἄλλων ἐμποδίζεται δόσιν.
καλῶς ποιήσας ⟨κοὐ⟩ καλῶς ὀνειδίσας
ἔργον καθεῖλες πλούσιον πτωχῶν λόγῳ.
καυχώμενος τὸ δῶρον, ὃ δέδωκας φίλῳ,
ἔργῳ στρατηγὸς γέγονας, ἐν λόγῳ φονεύς.
ἂν γυμνὸν εὑρὼν πενιχρὸν ἐνδύσῃς ⟨ποτέ,
μᾶλλον ἀπέδυσας⟩ αὐτόν, ἂν ὀνειδίσῃς.
ἐὰν τροφὴν δοὺς τὸν λαβόντ' ὀνειδίσῃς,
ἀψινθίῳ κατέπασας Ἀττικὸν μέλι.

Μεν. *περὶ πονηρίας.*

Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν,
ἀλλ' ἀντιτάσσου, μὴ τἄνω κάτω γένητ'.
ὁ γὰρ ἀδίκως ⟨τι⟩ καθ' ἑτέρου ζητῶν κακὸν

91—92 ∼ Philem. fr. 168 Kock | cf. mon. 872 ‖ **93** = Philem. fr. 205, 1 Kock | cf. mon. 828 ‖ **95—96** ∼ Philem. fr. 164 Kock ‖ **97—100** ∼ Philem. fr. 140, 141 ‖ **97** ∼ Comp. I 227 ‖ **101—102** cf. Comp. I 225—226, III 35—36 (Philem. fr. 176 Kock) ‖ **103—104** = Comp. III 33—34 ‖ **104** ∼ Comp. I 228 ‖ **105—106** cf. Stob. 4, 2, 3 (Men. II fr. 7) ‖ **107—108** = Men. fr. 696 Kock ∼ Comp. IV 39—40

91 *ἐὰν δῶρον διδόμενον κἂν α* | *ἂν* Mk., *εἰ β* ‖ **92** *ἂν μετ' εὐνοίας δοθῇ* Hms., *μετ' εὐνοίας διδόμενον* codd., *ἂν μετ' εὐνοίας διδῷς* Mk. ‖ **94—95** om. *β* ‖ **94** *διδοὺς* Sn., *διδῶν* cod. ‖ **95** *μὴ λέγ' ὅτι* Mk., *μὴ λέγε τι α* | *μὴ διδούς. ὁ* Stu., *μὴ διδοῦσι α*, *οὐ δίδωσι* Mk., *οὐκ ὀνίνηται* Kock ‖ **96** *ἐμποδίζεται δόσιν* Grot., *ἐμπόδιζε τι δώσις α* ‖ **97** *ποιήσας*] *πονήσας* Grot. | ⟨*κ*⟩*οὐ* add. Jk. | *οὐ καλῶς* Grot., *καλῶς* codd., *καὶ κακῶς* Hms. ex Comp. I, *εἰ κακῶς* Mk. ‖ **98** *πτωχῶν* gen. explicat. | *πλούσιον πτωχῶν*] *πλούσιον πτωχῷ* Grot., *πλουσίου πτωχὸς* Hn. ‖ **100** *λόγῳ στρατηγὸς γέγονας, ὢν ἔργῳ* Dobr., *ἔργῳ γεγονὼς ἰατρὸς εἰ λόγῳ* Hms. | *φονεύς*] *κλοπεύς* Erbse ‖ **101—103** om. *β* ‖ **101** *ποτέ* add. Stu. ex Comp. I ‖ **102** *μᾶλλον ἀπέδυσας* add. Stu. ex Comp. III ‖ **103** *λαβόντ'* Comp. III, *φευγόντα* (sic) *α* ‖ **104** *κατέπαυσας α*, *ἔμιξας* Comp. I (K) ‖ **105** *ἀεὶ τοῖς πονηροῖς ἐπιτρέπει α* ‖ **106** *μήτ' ἄνω κάτω γένητ' β*, *μήτ' ἄνω γενῇ κάτω α*, *εἰ δὲ μή, τἄνω κάτω* Stob. | *μὴ ποιῇς τἄνω κάτω* Stu. ‖ **107** *τι* add. Hn. | *ὃ μὴ δικαίως κατὰ φίλων* Comp. IV

αὐτὸς προπάσχει τοῦ κακοῦ τὴν ἔκβασιν.
ὅταν πονηροῦ πράγματος κέρδος λάβῃς,
τοῦ δυστυχεῖν νόμιζε σ' ἀρραβῶν' ἔχειν.
Φιλ. Ὅταν ⟨δ'⟩ ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ
κακῶς τε πλούτῳ καὶ τύχῃ γαυρούμενον
ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα,
τούτου ταχεῖαν νέμεσιν ⟨εὐθὺς προσδόκα.⟩

Μεν. περὶ δούλου.

Δούλῳ γενομένῳ, δοῦλε, δουλεύειν φοβοῦ.
ἀμνημονεῖ γὰρ ταῦρος ἀργήσας ζυγοῦ.
ἐλευθέρως δούλευε· δοῦλος οὐκ ἔσῃ.
ἐλεύθερος πᾶς ἑνὶ δεδούλωται, νόμῳ,
δυσὶν δὲ δοῦλος, καὶ νόμῳ καὶ δεσπότῃ.
Φιλ. Πονηρὸς ἂν ᾖ δοῦλος, εὑρήσει δίκην·
σὺ μὴ γενηθῇς τῆς δίκης προηγέτης.
εἰς χεῖρα δοῦλον δεσπότῃ μὴ συμβάλῃς.
κἂν δοῦλος ᾖ τις, σάρκα τὴν αὐτὴν ἔχει·
φύσει γὰρ οὐδεὶς δοῦλος ἐγενήθη ποτὲ
ἀπὸ τοῦ πάλαι πλάσαντος ἀνθρώπων γένος.
ἴσην δὲ πάντων διάθεσιν τοῦ σώματος

109–110 = Comp. I 155–156 || 111–114 ~ Stob. 3, 22, 5 (Eurip. fr. 1040 TGF²) ~ Comp. I 293–296 || 115–116 = Comp. I 108–109 ~ Men. fr. 698 Kock | cf. mon. 207 || 117–119 cf. Comp. I 265–266 || 120–121 = Philem. fr. 167 Kock || 122 = Philem. fr. 206 Kock || 123–129, 131 = Philem. fr. 95 Kock || 123–124 cf. Philem. fr. 22 Kock

109 ἐκ post ὅταν del. Schm. || 110 νόμιζε ἀρραβῶνα α || 111 ὅταν Comp. I et Stob. (codd.), ἐπὰν codd., ἐὰν Max. Ant. et Stob. (corp. Par.) | πρὸς ὕψος ἠρμένον τινά Comp. I, πονηρὸν ἐς ὕψος φερόμενον codd. | δ' add. Mk. || 112 κακῶς] λαμπρῷ Stob. | τύχῃ] γένει Stob. (codd.) || 113 τε] δὲ α || 114 ταχεῖαν Stob., τάχιον codd. et Max. Ant., ταχίστην Comp. I | εὐθὺς Stob., ἥξειν β, om. α || 115 δούλῳ γενομένῳ, δοῦλε Comp. I, δουλογενεῖ δούλῳ α, δουλογενεῖ δὲ δοῦλε β | δουλεύων φοβοῦ Kock || 117 ἐλευθέρως Grot., ἐλευθέρῳ codd. || 117 ante 116 collocavit Mor. || 118 δεδούλωται] δὲ δούλω τω (sic) α || 119 δυσὶν δὲ δοῦλος Hn., δύσιν τε δούλω α, δυσὶ δὲ δοῦλος β || 120 ἂν ᾖ Grot., ἂν ᾖ α, ἂν εἰ β || 121 σὺ δὲ μὴ Hn. || 122 χεῖρα β, χεῖρας α | δεσπότῃ Grot., δεσπότου codd. || 123 δοῦλος ᾖ τις Mk. et Dobr., δοῦλός ἐστιν β, δοῦλος ἐστὶν α | τὴν αὐτὴν σάρκα α || 124 τῇ φύσει α || 125–130 om. β || 125 ἀνθρώπων Duebner, τὸ ἀνθρώπινον α

ἐποίησεν οὗτος ὡς ἐλευθέρου γένους.
ἐλευθέρους ἐποίησε πάντας τῇ φύσει,
δοῦλον δὲ μετεποίησεν ἡ πλεονεξία.
†ἡ ἐξ ἀρχόντων, νόμος, φίλοι.†
ἡ δ' ⟨αὖ⟩ τύχη τὸ σῶμα κατεδουλώσατο.
⟨ἐλεύθερον⟩ {δὲ} τὸ γένος ὑπάρχει τῇ φύσει.

Μεν. περὶ γειτονίας.
Ἐὰν πονηροῦ γείτονος γείτων τύχῃς,
πάντως παθεῖν πονηρὸν ἢ μαθεῖν σε δεῖ.
ἐὰν ⟨ποτ'⟩ ἀγαθοῦ γείτονος γείτων τύχῃς,
ὡς προσδιδάσκεις ἀγαθὰ καὶ προσμανθάνεις.
Φιλ. Ὡς εὐφυὲς ζῷον ὁ κοχλίας, νὴ τὸν θεόν.
ὅταν πονηρῷ περιπέσῃ τῷ γείτονι,
τὸν οἶκον ἄρας εἰς ἕτερον τόπον† πορεύεται.
⟨καὶ⟩ τέρπεται δρόσοισιν· {νεμόμενος} ἀλλ' ὅταν ποτὲ
δοκῇ τις αὐτῷ παρενοχλεῖν τῶν γειτόνων,
ἀπέρχεθ' οὕτως περιφέρων τὴν οἰκίαν
νέμετ' ἀμέριμνος τοὺς κακοὺς φεύγων ἀεί.

Μεν. περὶ νόμου.
Λόγος φυλαχθεὶς οὐδέν ἐστιν ἢ νόμος,
ὁ μὴ φυλαχθεὶς καὶ νόμος καὶ δήμιος.

128–129 ~ Comp. I 100–101 || **133–136** = Comp. IV 43–46 ~ Men. fr. 553 Kock || **137–139, 143** ~ Philem. fr. 114 Kock || **137–143** cf. Anaxilas fr. 34 Kock || **144–145** = Comp. IV 33–34 ~ Men. fr. 700 Kock

127 *οὗτος ὡς ἐλευθέρου γένους* Jac., *ὄντως ὡς ἐλεύθερον γένος α* || **128** *ἐποίησε πάντας* Duebner, *οὖν ἅπαντας ἐποίησε α* | *ἅπαντας ἡ φύσις ποιεῖ* Comp. I || **129** *δούλους* Comp. I, *δὲ* Duebner, *τε α* || **130** *ἄρχουσα πάντων τῶν νόμων καὶ τῶν φίλων* Erbse || **131** *δ' αὖ β, δὲ α* || **132** *ἐλεύθερον* add. Jk. | *δὲ* ante *γένος* del. Jk. || **133** *τύχῃς* Mk., *ἔσῃ* codd. || **135** *ποτ' ἀγαθοῦ* Comp. IV, *ἀγαθοῦ* codd., *ἀγαθοῦ δὲ* Rg., *δικαίου* Hn. | *τύχῃς* Mk., *ἔσῃ* codd. || **136** *ἀγαθὰ* Grot., *τὰ ἀγαθὰ α, τ' ἀγαθὰ β* | *προμανθάνεις α* || **137** *κοχλιός α* | *ζῷον κοχλίας* Bentl., *εὐφυὴς ὁ κοχλίας* Rg. et Rigaltius || **139** *εἰς*] *ὡς* Kock | *τόπον* del. Rigaltius | *πορεύεται*] *φέρει* Erbse || **140–142** om. *β* || **140** *καὶ* add. Stu. | *νεμόμενος* ante *ἀλλ'* del. Stu. || **142** *ἀπέρχεθ'* Stu., *ἀπέρχεται α* || **143** *νέμετ'* Rl, *μέμεται α, νέμεται δ'* Grot., *νέμεταί τ'* Stu. || **144** *νόμος* Comp. IV, *λόγος* codd.

Νόμον φοβηθεὶς οὐ ταραχθήσει νόμῳ.
μὴ πάσχε πρῶτον τὸν νόμον καὶ μάνθανε·
πρὸ τοῦ παθεῖν σε τῷ φόβῳ προλαμβάνου.
Φιλ. Ὃ δεῖ παθεῖν σε μηδαμοῦ σκέψῃ φυγεῖν·
οὐ γὰρ δυνήσῃ διαφυγεῖν ὅ σε δεῖ παθεῖν·
⟨τὸ⟩ πεπρωμένον γὰρ οὐ μόνον ⟨πᾶσιν⟩ βροτοῖς
ἄφευκτόν ἐστιν, ἀλλὰ καὶ τοῖς οὐρανὸν | ⟨ἔχουσι⟩

Μενάνδρου παραινέσεις περὶ τοῦ
τὸν πατέρα τιμᾶν καὶ τὴν μητέρα.

Ὁ λοιδορῶν ⟨τὸν⟩ πατέρα δυσφημεῖ λόγῳ
τὴν εἰς τὸ θεῖον ⟨δὲ⟩ μελετᾷ βλασφημίαν.
ὁ μὴ τρέφων τεκοῦσαν ἐκ τέχνης νέος
ἄκαρπός ἐστιν οὗτος ἀπὸ ῥίζης κλάδος.

περὶ γέλωτος.

Ὁ μὴ γέλωτος ἄξιος ⟨ὢν⟩ ἂν ᾖ γέλως,
αὐτὸς πέφυκε τοῦ γέλωτος κατάγελως.
{ε}ἂν ἀγνοῶν τι παρά τινος θέλῃς μαθεῖν,
τὸ τοῦ μαθητοῦ πρῶτα τὴν σιγὴν ἔχειν.
ἅπαντα μεταμέλειαν ἀνθρώποις φέρει,

146 = Men. fr. 858 Kock || 147—148 = Comp. I 143—144 = Comp. IV 31—32 ∼ Men. fr. 701 Kock || 149—150 ∼ Comp. I 95—96 || 149—152 ∼ Philem. fr. 115 Kock | cf. mon. 479, 813 || 153—154 ∼ Men. fr. 715 Kock || 155—156 ∼ Men. fr. 716 Kock || 157—158 ∼ Men. fr. 1098 Kock | cf. mon. 144 || 159—160 ∼ Men. fr. 1097 Kock || 161—163 = Men. fr. 1104, 1105, 1103 Kock

146 *οὐ ταραχθήσει* Mk., *οὐ πειραθήσει α, οὐ ταραχθήσῃ β* || 148 *σε*] *δὲ* Mk. | *μαθεῖν . . . προλάμβανε* Comp. I || 149 *ὅ*] *ἃ* Comp. I || 150 *δυνήσῃ*] *δύναι' ἂν* Mk. | *διαφυγεῖν* Mk. ex Comp. I, *φυγεῖν α, φεύγειν β* || 151 *τὸ* add. Rg. | *πᾶσι* add. Mor. et Hn. | *τοῖσιν βροτοῖς* Mk., *βροτοῖς ἀεὶ* Kock || 152 *τοῖς οὐρανόν / ἔχουσι* Mk. *τὸν οὐρανόν* codd., *κατ' οὐρανόν* Hn., *τῷ οὐρανῷ* Mor. || 153 *τὸν* add. Hn., *δυσφήμῳ* Bentl. || 154 *δὲ* add. Hn. | *ἐκμελετᾷ* Bentl., *προμελετᾷ* Dobr. || 156 *οὕτως α* || 157 *ὁ μὴ γέλωτος . . . γέλως* Mk. et Duebner, *ὁ γέλως ἂν μὴ ᾖ τοῦ γέλωτος ἄξιος α, ὁ μὴ γέλωτος ἄξιος ἂν ᾖ γέλως β, ἂν μὴ γέλωτος ἄξιος τύχῃ γέλως* Hn. || 158 *αὐτοῦ γέλωτος πέφυκεν κατάγελως β, πέφυκεν αὐτοῦ τοῦ γέλωτος κατάγελως* Mk. | *αὐτὸς* Sn. || 159 *ἂν* Mk., *ἐὰν* codd. || 160 *τὸ τοῦ*] *τὰ τοῦ* Mk. | *πρῶτα* Mk., *πρῶτον* codd. | *ἔχειν* Jk., *ἔχε α, ἔσχε β* || 161 *ἅπαντα . . . φέρει* Rg., *ἅπαντα ἀνθρώποισι μεταμελίαν φέρει α, ἅπαντ' ἐν ἀνθρώποις μεταμέλειαν φέρει* Mk.

μόνη σιωπὴ μεταμέλειαν οὐ φέρει.
μέλλων τι πράττειν μὴ προείπῃς μηδενί·
τὰ γάρ τισιν λεχθέντα καὶ μὴ γενόμενα
εἴωθε πλεῖστον ⟨καταγέλωτα προσφέρειν.⟩

Μεν. περὶ θανάτου.

Ὅταν εἰδέναι θέλῃς σεαυτὸν ὅστις εἶ,
ἔμβλεψον εἰς τὰ μνήμαθ', ὡς ὁδοιπορεῖς.
ἐνταῦθ' ἔνεστ' ὀστᾶ τε καὶ κούφη κόνις
ἀνδρῶν βασιλέων καὶ τυράννων καὶ σοφῶν
καὶ μέγα φρονούντων ἐπὶ γένει καὶ χρήμασιν
αὐτῶν τε δόξῃ κἀπὶ κάλλει σωμάτων.
κᾆτ' οὐδὲν αὐτοῖς τῶνδ' ἐπήρκεσεν χρόνος·
κοινὸν τὸν Ἅιδην ἔσχον οἱ πάντες βροτοί.
πρὸς ταῦθ' ὁρῶν γίνωσκε σαυτὸν ὅστις εἶ.
Φιλ. Εἴ ποτέ τις ἡμῶν εἰς τὸν ἀγρὸν ἐξιὼν
μνήματα παρέλθοι καὶ τάφους ἀνθρωπίνους,
τούτων ἕκαστος ἔλεγεν· „εἰς ὥρας ἐγὼ
πλεύσω, φυτεύσω, κτήσομαι ⟨πολλοὺς ἀγρούς⟩,
τὸν τοῖχον ἄρας πύργον ὑψηλὸν βαλῶ,
προσοικοδομήσω τὰ παρακείμεν' ἀγοράσων.“
λογιζόμενος ταῦτ' ἀπέθανεν μηδὲν τελῶν.

163—165 = Woelfflin, p. 124—126 || 166—174 = Men. fr. 538 Kock || 175—178 ∼ Philem. fr. 116 Kock

163 πράττειν] ποιεῖν Woelfflin || 164—165 om. β || 164 ῥηθέντα Woelfflin || 165 εἴωθε πλεῖστον Stu. ex Woelfflin, εἴωθεν πλείστων α | καταγέλωτα προσφέρειν add. Stu. ex Woelfflin || 166 θέλῃς σεαυτὸν Hn., θέλεις σεαυτὸν α, θέλῃς σαυτὸν β || 167 μνήμαθ' Stu., μνήματα α, μνήματ' β || 168 ἐνταῦθ' Grot., ἐνθ' αὐτ' α | ἔνεστ' ὀστᾶ τε Porson, ἔνεστιν ὀστέα β, ἔνεστιν ὄστεα α || 171 ἑαυτῶν α | κἀπὶ κάλλει Mk., καὶ κάλλει τῶν codd., τῷ τε κάλλει Grot. || 172 κᾆτ' Bth., καὶ codd., ἀλλ' Mk. | αὐτοῖς Mk., αὐτῶν codd. | χρόνος Bth., χρόνον codd., χρόνῳ Rg. || 174 ταῦτα α || 175 εἴποι τις ἂν Grot. | τὸν om. α || 176 παρέλθοι Hn., παρελθὼν codd. || post 176 Mk. versum excidisse suspicatur hac fere sententia „rerum humanarum fragilitatis admonitus dicet“ || 178 πολλοὺς ἀγρούς add. Stu. || 180—181 om. β || 180 παρακείμεν' Stu., παρακείμενα α || 181 λογιζόμενος ταῦτ' Stud. ταῦτα λογιζόμενος codd. | τελῶν Stu., ποιήσας α

Μεν. περὶ λόγου.

Λύπης ἰατρός ἐστιν ἀνθρώποις λόγος·
ψυχῆς γὰρ οὗτος μόνος ἔχει κουφίσματα·
λέγουσι δ' αὐτὸν οἱ πάλαι σοφώτατοι
ἀστεῖον εἶναι φάρμακον ⟨λυπουμένῳ⟩.
†ἀλλ' ὅταν κἀγὼ παραλημφθῶ εἰς λύπας ποτέ†,
ὅταν δέ τις λόγοις με παραμυθήσεται,
λόγοις με πείσας ἔσβεσεν λύπην ἐμήν.

Φιλ. Ἆρ' ἔστι τοῖς νοσοῦσι χρήσιμος λόγος.
ὡς σπληνίον πρὸς ἕλκος οἰκείως τεθὲν
τὴν φλεγμονὴν ἔπαυσεν, οὕτω καὶ λόγος
εὔκαιρος εἰς τὰ σπλάγχνα κολληθεὶς φίλων
εὐψυχίαν παρέσχε τῷ λυπουμένῳ.
ψυχῆς πόνος γὰρ ὑπὸ λόγου κουφίζεται.

Μεν. περὶ λύπης.

Ἄνθρωπε, μὴ στέναζε, μὴ λυποῦ μάτην.
μηδέποτε λύπη τεῖρε σὴν ψυχὴν κακῶς
καταμεμφόμενος ⟨τὰ τῆς τύχης⟩, φάσκων τάδε·
„ἀπώλεσα πάνθ' †ὅσον ἐκεκτήμην βίον†,

182 = mon. 452 || **182—183** ~ Men. II fr. 782 || **182—185** ~ Men. fr. 559 Kock | cf. mon. 46, 445, 587; Eurip. fr. 1079 TGF² || **188** cf. mon. 437 || **189—193** = Philem. fr. 112, 113 Kock || **189—191** = Stob. II 4, 3 || **194** = Philem. fr. 207 Kock | cf. mon. 454 || **195. 199, 200** = Men. fr. 598 Kock

182 *λύπης . . . λόγος β, πάρεστιν ὁ λόγος· ἰατρὸς ἀνθρώπῳ νοσοῦντι α, ἰατρός ἐστιν ὁ λόγος ἀνθρώποις νόσων* Men. II fr. 782 || **183** *κουφίσματα* schol. BT, *ἰάματα* codd., *θελκτήρια* schol. Aesch. Prom. 378 || **184** *σοφώτατα* Herw. || **185** *λυπουμένῳ* add. Stu. || **186—188** om. *β* || **186** *κἀγὼ δ' ὅταν παραληφθῶ* Stu. | *ἀλλ' ὅταν ἐγὼ λύπαις τισι περιπέσω ποτέ* Erbse || **187** *ὅταν*] *ὁπότε* Erbse | *τις λόγοις με παραμυθήσεται* Stu., *τίς με παραμυθήσεται λόγοις* Q || **188** *ἔσβεσεν* Stu., *ἔσβεσε α* || **189** *ἆρ' ἔστι . . . λόγος* Stob., *πάρεστιν ὁ λόγος τοῖς νοσοῦσι χρήσιμος* codd. || **190** *ὡς σπληνίον*] *προληνοῦν ὡς α* | *τιθὲν* P || **192** *εὔκαιρος* Rg., *εὐκαίρως* codd. || **193** *εὐψυχίαν β, εὔψιαν* (sic) *α* || **194** *πόνος γὰρ* Rg., *γὰρ πόνος* codd. || **195** inscr. *περὶ λύπης* Jk., *περὶ λογισμῶν* codd. || **196—198** om. *β* || **196—197** *μηδέποτε . . . φάσκων τάδε* Stu., *μηδὲ λύπη ποτὲ τὴν σὴν ψυχήν* | *ἀκλεῶς καταμεμφόμενος φάσκων τάδ' α* || **198** *πάνθ' ὅσον* Stu., *πάντ' ὅσον α* | *ἐκεκτήμην* Stu., *κεκτήμην α* | *ἀπώλεσα πάντα βίον ἐκεκτήμην ὅσον* Erbse

χρήματα, γυναῖκα καὶ τέκνων πολλῶν σποράν."
ἅ σοι τύχη κέχρηκε, ταῦτ' ἀφείλετο.
ἄνθρωπος ὢν μηδέποτε τὴν ἀλυπίαν
αἰτοῦ παρὰ θεῶν, ἀλλὰ ⟨τὴν⟩ μακροθυμίαν.
ὅταν δ' ἄλυπος διὰ τέλους εἶναι θέλῃς,
ἢ δεῖ θεόν σ' εἶναί τιν' ἢ τάχα δὴ νεκρόν.
παρηγόρει δὲ τὰ κακὰ δι' ἑτέρων κακῶν.
Φιλ. Ὅταν ξενισθῇς ἐν πόλει πρὸς τῶν φίλων
ἐν ταῖς περισσαῖς καὶ πυκναῖς ὁμιλίαις,
ἐὰν μεγίστην ὁ φίλος ἣν λέγῃ πόλιν,
σὺ τὴν ἑαυτοῦ μηδὲ συγκρίνῃς ποτέ·
ἐχθροὺς ποιοῦσι τοὺς φίλους αἱ συγκρίσεις.

201–204 ~ Comp. I 282–285 || 201–205 ~ Men. fr. 549 Kock || 205 ~ Philem. fr. 234 Kock || 206–210 ~ Philem. fr. 109 Kock

200 ἅ σοι τύχη κέχρηκε Rg., ἃ κέχρηκε σοι ἡ τύχη α, ἃ σοι κεχώρικε τύχη β | ταῦτ' ἀφείλετο β, ταῦτα καὶ ἀφείλετο α, ταῦτ' ἀφέλετο Mor. || 201–204 om. Ri || 202 αἴτει Nck., θεῶν Hn., θεοῦ codd. | τὴν add. Dobr. ex Comp. I || 203 ὅταν δ' Bentl., ὅταν γὰρ codd. || 204 ἢ δεῖ θεόν σ' εἶναι Mk., ἢ γὰρ θεόν σε δεῖ εἶναι α, ἢ δεῖ θεόν σε εἶναι Ru, ἢ θεὸν εἶναί σε δεῖ ἢ νεκρὸν Comp. I, δὴ Ru, δὲ α || 205 τὰ om. α, παρηγοροῦσι τὰ Kock (Philem.) || 206 ξενισθεὶς α | τῶν φίλων Kock, τὸν φίλον codd., τοῦ φίλου Mk. || 208 ἣν Grot., τὴν ἑαυτοῦ α, om. β | λέγῃ Mk., λέγει codd. || 209 ἑαυτοῦ . . . ποτέ Stu., ἑαυτοῦ πατρίδα μὴ συγκρίνῃς ποτὲ α, ἑαυτοῦ πατρίδα μὴ συγκρίνῃς β, σεαυτοῦ πατρίδα μὴ σύγκριν' ἐπεὶ Bentl.

III

MENANDRI ET PHILISTIONIS DISTICHA PARISINA

Μεν. †Γυναῖχ᾽ ὁ διδάσκων γράμματα καλῶς
ἀσπίδι φοβερᾷ προσπορίζει φάρμακον.†
Φιλ. Ἐὰν γυνὴ γυναικὶ κατ᾽ ἰδίαν λαλῇ,
μεγάλων κακῶν θησαυρὸς ἐξορύσσεται.
Μεν. Καλὴν γυναῖκ᾽ ἐὰν ἴδῃς, μὴ θαυμάσῃς·
τὸ γὰρ πολὺ κάλλος καὶ ψόγων πολλῶν γέμει.
Φιλ. Πιθανὴν γυναῖκα ⟨δ᾽⟩ ὁ τρόπος εὔμορφον ποιεῖ,
πολὺ ⟨γὰρ⟩ διαφέρει σεμνότης εὐμορφίας.
Μεν. Γνώμην κακίστην ⟨τῇ⟩ γυναικὶ μὴ λέγε·
γνώμῃ γὰρ ἰδίᾳ τὸ κακὸν ἡδέως ποιεῖ.
Φιλ. Γνώμην πονηρὰν τῇ γυναικὶ μὴ δίδου·
ἐλαφρὸν γένος γάρ ἐστι καὶ λίαν κακόν.
Μεν. Μὴ κλαῖε τοὺς θανόντας· οὐ γὰρ ὠφελεῖ
τὰ δάκρυ᾽ ἀναισθήτῳ γεγονότι καὶ νεκρῷ.

1—2 ~ Men. fr. 702 Kock | cf. Comp. I 209—210; mon. 364 || 3—4 = Comp. I 215—216 ~ Philem. fr. 169 Kock || 5—6 ~ Men. fr. 703 Kock | 7—8 = Comp. I 207—208 ~ Philem. fr. 170 Kock || 9—10 ~ Men. fr. 704 Kock ~ Comp. I 217—218 || 11 cf. Comp. I 205 || 11—12 = Philem. fr. 171 Kock || 13—14 = Men. fr. 705 Kock

1—2 cf. Sn. ad Comp. I 209—210 || 2 ⟨δὲ⟩ φοβερᾷ Mk., πονηρᾷ Hn. | προσπορίζει Mk., προπορίζει α, προσποτίζει Hn. || 3 λαλῇ Comp. I, ὁμιλεῖ codd. || 4 μεγάλων] μέγας Kock || 5 γυναῖκ᾽ ἐὰν Ru et Mk., γυναῖκα ἐὰν α || 7 πιθανὴν Comp. I, σαπρὰν codd., δ᾽ add. Mk. || 8 γὰρ add. Grot. ex Comp. I || 9 κακίστην Hn., ἀρίστην codd., πονηρὰν Dobr., τῇ Ru, om. α | μεγίστην τῷ φιλοῦντι Comp. I || 12 γένος γάρ ἐστι Rg., γάρ ἐστι τὸ γένος codd., τὸ γένος γάρ ἐστι Mk. || 13 τοὺς θανόντας Hn., τὸν θανόντα codd. || 14 γεγονότι καὶ νεκρῷ Rg., ὄντι καὶ νεκρῷ γεγονότι codd.

Φιλ. Ὅταν τάφον †στεφανοῖς† κόσμῳ ποικίλῳ,
τὸ ζῆν τὸ σαυτοῦ †στεφάνοις παρηγορεῖ.
Μεν. Τί τῷ θανόντι δῶρα λαμπρὰ προσφέρεις,
ἃ μετ' ὀδύνης εἴασε κοὐκ ἐχρήσατο;
Φιλ. Ζῶν γὰρ σεαυτῷ στέφανον ἀσκοῦ καὶ μύρα·
χρήσῃ γὰρ αὐτοῖς αἰσθόμενος μεθ' ἡδονῆς.
Μεν. Κἂν μυρίων γῆς κυριεύσῃς πήχεων,
θανὼν γενήσῃ τάχα τριῶν ἢ τεσσάρων.
Φιλ. Κἂν μέχρι νεφέων τὴν ὀφρὺν ἀνασπάσῃς,
ὁ θάνατος αὐτὴν πᾶσαν ἑλκύσει κάτω.
Μεν. Πράττων καλῶς μέμνησο τῆς δυσπραξίας·
ὡς γὰρ τὸ πράττειν καὶ τὸ δυσπράττειν σκόπει.
Φιλ. Μὴ λέγε φυγὼν ⟨τὸν⟩ θάνατον ὅτι φεύξει πάλιν.
ὡς γὰρ πέφευγας, προσδόκα καὶ μὴ φυγεῖν.
Μεν. Εἰ γάμος† ἦν ὁ σῴζων† τὴν ἄλλου νόσον,
νοσοῦντα σῴζων αὐτὸς ἀποθνήσκει νοσῶν.

15–16 ~ Philem. fr. 172 Kock | cf. Comp. I 77–78 || 17–18 = Men. fr. 706 Kock ~ Comp. I 73–74 || 19–20 ~ Philem. fr. 173 Kock | cf. Men. II fr. 239 || 21–22 ~ Men. fr. 1099 Kock ~ Comp. II 57–58 ~ Comp. I 221–222 || 23–24 = Comp. I 219–220 = Comp. II 55–56 (Philem. fr. 174 Kock) || 25–26 ~ Comp. I 147–148 ~ Men. fr. 707 Kock || 27–28 ~ Philem. fr. 175 Kock | 29–30 ~ Men. fr. 709 Kock

15 *ὅταν τάφον α, ὅταν τινὰ τάφον* Ru, *μάτην τάφον στεφάνοισι κοσμεῖς ποικίλοις* Dobr., *ὅταν τάφον κοσμῇς στεφάνοισι ποικίλοις* Erbse || 16 *στεφάνοις*] *στέμμασι* Hn., *παρηγορεῖς* Kock | *τὸν ζῶντα σαυτὸν τοῖς στεφάνοις παρηγόρει* Dobr. || 18 *εἴασε* Mk., *ἔασεν* codd., *ἃ μεθ' ἡδονῆς ἀφῆκε* Comp. I || 19 *ζῶν γὰρ . . . μύρα* Rg., *ζῶν γὰρ ἀσκοῦ σαυτῷ στεφάνους* (*στεφάνων* Ru) *καὶ μύρα α, στεφάνους σεαυτῷ ζῶν παράσχου καὶ μύρα* Jac. || 20 *αἰσθόμενος μεθ' ἡδονῆς* Hn., *μεθ' ἡδονῆς αἰσθόμενος* codd. || 21 *κυριεύσῃς πηχέων* Stu., *πηχῶν κυριεύσῃς* codd., *κύριος πηχῶν ἔσῃ* Comp. I et II || 22 *γενήσει* Mk. | *τάχα μόλις πηχῶν τριῶν* Comp. I || 23 *νεφέων* Rg., *νεφῶν* codd. || 24 *πᾶσαν*] *αὖθις* Herw. || 26 *καὶ τὸ δυσπράττειν σκόπει* Hn., *οὕτω καὶ σκόπει* codd., *καὶ τὸ μὴ πράσσειν σκόπει* Comp. I, *ὡς γὰρ τὸ πράττειν εὖ, τὸ κακῶς πάσχειν σκόπει* Dobr. || 27 *μὴ λέγε . . . πάλιν* Jac., *μὴ λέγε ἐκφυγὼν θάνατον ὅτι φεύξομαι πάλιν* codd. | *φυγὼν θάνατον μὴ λέγ' ὅτι φεύξομαι πάλιν* Hn. || 29 *εἰ ἀθάνατος ἦν ὁ σώσας ἄλλον ἐκ νόσου* Hn., *ἰατρὸς ἦν οὐκ οἶδε τὴν δ' ἄλλου νόσον* Stu. || 30 *νοσοῦντα* Dobr., *νόσον* codd. | *σώσας νόσου πῶς αὐτὸς ἀποθάνοι νοσῶν* Hn.

Φιλ. †Ἐπὰν ἐγγὺς θάνατος ἔλθῃ, οὐδεὶς ἑαυτῷ ὃ θέλει βουλεύεται.†
θνήσκει ὁ θνήσκων κατ' ἰδίαν εἱμαρμένην.
Μεν. Ἐὰν τροφὴν δοὺς τὸν λαβόντ' ὀνειδίσῃς,
ἀψινθίῳ κατέπασας Ἀττικὸν μέλι.
Φιλ. Ἐὰν ὁρῶν πένητα γυμνὸν †ἐνδύσῃς†,
μᾶλλον ἀπέδυσας αὐτόν, ἂν ὀνειδίσῃς.
Μεν. Ἐὰν ἐκ μεταβολῆς ἐπὶ κρεῖττον γένῃ,
ὅτ' εὐτυχεῖς, μέμνησο τῆς προτέρας τύχης.
Φιλ. Μὴ λέγε τίς ἦσθα πρότερον, ἀλλὰ νῦν τίς εἶ.
πρὸς τὴν παροῦσαν πάντοθ' ἁρμόζου τύχην.
Μεν. Ὅταν τι μέλλῃς τὸν πέλας κατηγορεῖν,
αὐτὸς τὰ σαυτοῦ πρῶτ' ἐπισκέπτου κακά.
Φιλ. Ἀνὴρ γυναικὸς λαμβάνων συμβουλίαν
πεσεῖν δεδοικὼς βούλεται πάλιν πεσεῖν.
Μεν. Μηδέποτε πειρῶ στρεβλὸν ὀρθῶσαι κλάδον.
ἐκεῖ νένευκεν οὗ φύσις βιάζεται.
Φιλ. Ὁ γῆρας αἰτῶν παρὰ θεῶν ἁμαρτάνει·
τὸ γὰρ πολὺ γῆρας ἐσχάτων πόνων γέμει.

31—32 = Philem. fr. 129 Kock | cf. Eurip. Alc. 671 sq. || 33—34 = Comp. II 103—104 (Men. fr. 708 Kock) || 35—36 = Philem. fr. 176 Kock | cf. Comp. II 101—102 et Comp. I 225—226 || 37—38 ~ Men. fr. 712 Kock || 38—40 ~ Comp. I 258—260 || 39—40 = Philem. fr. 186, 187 Kock || 41—42 ~ Men. fr. 710 Kock || 43—44 = Comp. I 261—262 = Philem. fr. 177 Kock | cf. mon. 486 || 45—46 ~ Men. fr. 711 Kock || 46 = Comp. I 214 | cf. Pap. II 4 || 47—48 = Philem. fr. 178 Kock

31 *ὅταν ἔλθῃ θάνατος, βούλεται γ' οὐδεὶς θανεῖν* Rg., *ἐπὰν γὰρ ἡμῖν ἐγγὺς ὁ θάνατος μόλῃ* | *οὐδεὶς ἑαυτῷ τόδ' ὃ θέλει βουλεύεται* Hms. || 32 *⟨δ'⟩ ὁ* Rg. || 33 *λαβόντ'* Ru, *λαβόντα* α || 34 *κατέπασας*] *ἔμιξας* Comp. I || 36 *μᾶλλον*] *πάλιν* Hms. || 37 *ἐὰν ποτ' ἐκ* Stu. | *ἐκ μεταβολῆς ἐπὰν ἐπὶ τὸ* Mk. || 38 *ὅταν εὐτυχῇς* Mk. || 39 *τίς ἦσθα πρότερον* Mk., *πρότερον τίς ἧς* codd. || 40 *ἁρμόζου* Rg., *ὁρμάζου* codd. || 41 *μέλλῃς* Mk., *μέλλεις* codd. || 42 *πρῶτ'* Mk., *πρῶτον* codd. || 44 *πάντως πεσεῖν* Mk. || 46 *ἐκεῖ νένευκεν* Comp. I, *οὐκ ἦν ἐνέγκειν* codd. | *οὗ φύσις* Jac., *ὅπου φύσις* codd., *ὅπου ἡ φύσις* Comp. I || 48 *πόνων* Nck.[1], *πολλῶν* codd., *κακῶν* Nck.[2]

Μεν. *Μάτην ⟨ἄρ'⟩ οἱ γέροντες εὔχονται θανεῖν,*
γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου.
Φιλ. *Γέρων γενόμενος μὴ φρόνει νεώτερα,*
μηδ' εἰς ὄνειδος ἕλκε τὴν σεμνὴν πολιάν.
Μεν. *Ὅταν γέρων γέροντι γνώμην μεταδιδοῖ,*
θησαυρὸς ἐπὶ θησαυρὸν ἐκπορίζεται.
Φιλ. *Οὐχ ἡ πόλις σου τὸ γένος εὐγενὲς ποιεῖ,*
σὺ δ' εὐγενίζεις τὴν πόλιν πράσσων καλῶς.
Μεν. *{ε} Ἂν καλὸν ἔχῃ τις σῶμα καὶ ψυχὴν κακήν,*
καλὴν ἔχει ναῦν καὶ κυβερνήτην κακόν.
Φιλ. *Χρυσὸς μὲν †διελέγχεται πυρί†,*
αἱ τῶν φίλων γνῶμαι χρόνῳ γινώσκονται.
Φιλ. *Σαίνει κύων τὸν δόντα, κἂν ἅπαξ λάβῃ·*
ἄνθρωπος ἀδικεῖ καὶ λαβὼν καὶ μὴ λαβών.

49–50 = Men. fr. 713 Kock = Eurip. Alc. 669–670 ‖ **51–52** = Philem. fr. 179 Kock | cf. Comp. I 236 (mon. 168) ‖ **53–54** ~ Men. fr. 714 Kock ‖ **55–56** = Philem. fr. 180 Kock ‖ **57–58** = Men. fr. 1100 Kock ‖ **59–60** cf. Comp. II 83–84

49 *ἄρ'* add. Mk. ex Eurip. Alc. | *τοῦ* ante *θανεῖν* del. Hn. ex Eurip. Alc. ‖ **50** *καὶ μακρὸν χρόνον βίου* Eurip. Alc., *καὶ πολύχρονον βίον* codd. ‖ **52** *ἕλκε τὴν*] *ἑλκύσῃς* Kock | *πολιάν*] *κόμην* Kock, *τρίχα* Mk. ‖ **53** *μεταδιδοῖ* Stephani Thesauri editio Parisina III, *διδοῖ* codd. | *συμβουλὴν διδοῖ* Hms. ‖ **54** *ἐκπορίζεται* Mk., *ἐμπορίζεται πρᾶγμα* codd. ‖ **55** *εὐγενὲς ποιεῖ* Rg., *εὐγενῆ* codd. ‖ **57** *ἂν* Grot., *ἐὰν* codd. | *ψυχὴν κακήν* Rg., *κακὴν τὴν ψυχήν* α, *κακὴν ψυχήν* Ru ‖ **58** *ἔχει . . . κακόν* Rg., *ἔχεις* (*ἔχῃς* Ru) *ναῦν καὶ κακὸν κυβερνήτην* α ‖ **59–60** *χρυσὸς θέλει μὲν ἐξελέγχεσθαι πυρί* | *αἱ τῶν φίλων γνῶμαι δὲ κρίνονται χρόνῳ* Erbse ‖ **60** *δὲ* post *αἱ* del. Schm. ‖ **62** *ἀδικεῖ* Stu., *δ' ἀδικεῖ* Q

IV

ΓΝΩΜΑΙ ΜΕΝΑΝΔΡΟΥ ΚΑΙ ΦΙΛΙΣΤΙΩΝΟΣ

Μεν. Πολλῶν ὁ καιρὸς γίνεται παραίτιος·
ἂν γὰρ μέγιστα κομπάσῃς φρονῶν μέγα,
οὐκ οἶδας ὡς ⟨τὰς⟩ μεταβολὰς πολλὰς ἔχει·
ὃ νῦν δίδωσιν, οὐ δίδωσιν αὔριον.
χρόνος γὰρ οὐκ ἔσθ' αὐτὸς ἀνθρώποις ἀεί.
τὸν οὖν παρόντα καιρὸν ἂν ἅπαξ ἀφῇς,
οὐκ ἔστιν αὐτὸν προσλαβεῖν πάλιν ταχύ.
Φιλ. Ἐπάν σ' ὁ καιρὸς ἐμβάλῃ πολλοῖς κακοῖς,
μὴ †ἐκκακίσῃς† πάντα εὐθύμως φέρειν·
πάλιν γὰρ ὄψει τῶν κακῶν περιτροπήν.
ἀεὶ γὰρ ὁ χρόνος ὡς τροχὸς κυλίεται.
⟨ὁ⟩ καιρὸς ὁ τυχὼν ἐστιν ἀνθρώποις ἀεί,
πᾶσιν γὰρ οὐ πέφυκεν ἀνθρώποις ἴσος.
κέρδη γὰρ ἄλλοις χῄδονὰς θηρεύεται,
ἄλλοις δὲ λύπας προσπορίζει καὶ βλάβας.

1 ~ mon. 630 || 3 cf. mon. 745; Stob. 1, 7, 2 (Men. II fr. 348); Eurip. fr. 549 TGF² || 10 ~ Comp. I 257 || 11 cf. Soph. fr. 787, 2 TGF² (Plut. cons. ad Apoll. 5, 103 F)

1 *γίνεται διδάσκαλος* mon. 630 || 3 *ὡς τὰς μεταβολὰς πολλὰς* Mk., *ὡς πολλὰς μεταβολὰς* R, *ὡς τοι μεταβολὰς πολλὰς* Stu. || 5 *οὐκ ἔσθ' αὐτὸς* Mk., *οὗτος ἐστιν* R || 6 *ἂν ἅπαξ ἀφῇς* Mk., *ἀπάν* (sic) *ἀφεῖς* R || 7 *προσλαβεῖν πάλιν* Boiss., *πάλιν προσλαβεῖν* R || 8 *σ'* Boiss., *σε* R || 9 *οὐ μὴ 'κκακήσῃς, πάντα δυσθύμως φέρων* Mk., *μὴ δυσχεράνῃς πάντα γ' εὐθύμως φέρειν* Erbse || 10 *τῆς τύχης μετατροπήν* Comp. I || 11 *ὁ χρόνος ὡς τροχὸς* Mk. *ὡς τροχὸς ὁ χρόνος* R || 12 *ὁ* add. Stu. ex Stob. 4, 41, 49, 2, *καιρὸς ⟨μὲν⟩* (vel *⟨γὰρ⟩*) Boiss. || 13 *ἴσος* Boiss. *ἴσως* R || 14 *χῄδονὰς θηρεύεται* Mk., *καὶ ἡδονὰς ἐρεύεται* R, *χαρίζεται* Stu.

⟨Φιλ.⟩ Μίαν πρόνοιαν τῶν ἄνω καὶ τῶν κάτω
θεὸν νόμιζε καὶ σέβου παντὶ σθένει·
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου.
καὶ μήτ' ἐρώτα μήτε μανθάνειν θέλε·
οὐ γὰρ θέλω σε μανθάνειν, τί δὴ θεός.
Μεν. Λόγος κατάγει ⟨μὲν⟩ Ταρτάρου κατώτερον,
λόγος δὲ αὖθις εἰς †ὕψος† ψυχὴν ἄγει.
Μεν. Ὁ πονηρὰ ποιῶν εὐθέως οὐκ αἴσθεται·
τότ' οἶδεν ὃ πεποίηκεν, ὅτε κολάζεται.
Φιλ. Ὁ δυσσεβῶν τι καὶ δοκῶν λαθεῖν θεόν,
κολάζεθ' οὗτος ὑπὸ συνειδότος θεοῦ.
Μεν. Ὁ μὴ κολασθεὶς τῷ νόμῳ πράξας κακῶς,
αὐτὸς ὑφ' ἑαυτοῦ τῷ φόβῳ κολάζεται.
Φιλ. Εὐσχημονεῖν φρόντιζε, μὴ τῷ σχήματι
τὸ σῶμα κοσμῶν, ἀλλὰ τῷ φρονήματι.
Μεν. Μὴ πάσχε πρῶτον τὸν νόμον καὶ μάνθανε·
πρὸ τοῦ παθεῖν σε τῷ φόβῳ προλαμβάνου.
Φιλ. Λόγος φυλαχθεὶς οὐδέν ἐστιν ἢ νόμος,
ὁ μὴ φυλαχθεὶς καὶ νόμος καὶ δήμιος.
Μεν. Πόντου, γυναικός, καύματος, θηρός, πυρὸς
χειρότερός ἐστιν ὁ προδότης τῶν† φίλων.

16—20 = Comp. I 269—273 (cum adnotatione) | cf. Comp. II 77—81; mon. 723 || **23** = Comp. I 136 || **25—26** = Comp. I 137—138 | cf. Comp. I 122 || **27—28** = Comp. I 139—140 || **29—30** cf. Comp. I 132—133; Stob. 4, 23. 3 (Antiph. fr. 264 Kock) || **31—32** = Comp. I 143—144 = Comp. II 147—148 || **33—34** = Comp. II 144—145 || **35—36** ~ Comp. I 274–275

16 *καὶ τῶν*] *τε καὶ* Mk. || **17** *σθένει* Comp. I, *σθένη* R || **18** *σέβου*] *χρόνοις* Comp. I || **19** *μήτ' ἐρώτα* Comp. I, *μὴ ἐρώτα* R | *μήτε μανθάνειν* Comp. I, *μηδὲ μανθάνειν* R || **20** *θέλω σε* Boiss. ex Comp. I, *θέλωσαι* R, *θέλει σε* Stu., *τί δεὶ θέος* (sic) R || **21** *μὲν* add. Sn., *κατάγει . . . κατώτερον* Stu., *κατάγη . . . κατότερον* R || **22** *λόγος δ' ἐς ὕψος αὖθι τὴν* Sn. || **23** *αἴσθεται* Mk. *ἔσθεται* R, *ἤσθετο* Boiss. || **24** *ὅτε* Boiss., *ὅτ' ἂν* R || **25** *θεόν* Mk., *θεῷ* R || **26** *κολάζεθ' οὗτος* Boiss., *κολάζεται οὗτος* R || **28** *ὑφ' ἑαυτοῦ τῷ φόβῳ* Comp. I, *ἀφ' ἑαυτοῦ τῷ νόμῳ* R || **29** *τῷ* Boiss., *τὸ* R || **31** *μὴ πάσχε πρῶτον* Comp. II, *νίκα σιωπῶν* R et Comp. I || **32** *πρὸ τοῦ . . . προλαμβάνου* Comp. II, *πρὸ τοῦ μαθεῖν τῷ νόμῳ προλαμβάνεις* R (cf. Comp. I 144 cum adnotatione) || **35** *καύματος* Mk., *κρίματα* R, *χρυμάτων* Boiss., *πυρός, θηρός* Comp. I || **36** *προδότης ὢν τῶν* Boiss., *ὃς προδότης ᾖ* Mk., *τῶν*] *ἰδίων* Sn.

Φιλ. Ἂν μὴ †δυνάμενος ἔθελον† δὲ βλάψῃς φίλον,
καὶ μὴ δυνάμενος καὶ θέλων πείσῃ κακά.
Μεν. Ὁ μὴ δικαίως κατὰ φίλων ζητῶν κακὸν
αὐτὸς προπάσχει τοῦ κακοῦ τὴν ἔκβασιν.
Φιλ. Ἄνθρωπος ὢν μηδέποτε καθ' ἑτέρου κακὸν
ἀδίκως φρονήσῃς· ἡ Δίκη γὰρ πάνθ' ὁρᾷ.
Μεν. Ἐὰν πονηροῦ γείτονος γείτων τύχῃς,
πάντως παθεῖν πονηρὸν ἢ μαθεῖν σε δεῖ.
Φιλ. Ἐάν ποτ' ἀγαθοῦ γείτονος γείτων τύχῃς,
ὡς προσδιδάσκεις ἀγαθὰ καὶ προσμανθάνεις.
Μεν. Αὐτὸς ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν θέλε·
μέμψῃ γὰρ ἄλλους, οὐχὶ μεμφθήσῃ δὲ σύ.
Φιλ. Δίκην φυλάσσου, κἂν δικαίως ἐγκαλῇ·
μετέρχεται τὸ δίκαιον ἐς πλεονεξίαν.
Μεν. Ἐὰν πένης ᾖς, εἶ δίκαιος κἀγαθός·
εἰ μὴ γὰρ ἦς δίκαιος, οὐκ ἂν ἦς πένης.
Φιλ. Πενία καθ' αὑτήν ἐστιν ἰσχυρὰ νόσος·
ἔρωτα προσλαβοῦσα δύο νόσους νοσεῖ.

39—40 ~ Comp. II 107—108 || 42 cf. mon. 225 cum adnotatione: Comp. I 126 || 43—46 = Comp. II 133—136 || 52 cf. mon. 62; Comp. I 288 || 53—54 = Comp. I 276—277 || 53 cf. Stob. 4, 32, 28 (Diphil. fr. 105, 3 Kock)

37 *ἐὰν δυνάμενος μηδ' ἐθέλων βλάψῃς φίλον* Stu. | *ἔθελον δὲ βλάψῃς*] *πάνυ θέλῃς βλάψαι* Sn. || 38 *κακόν* Mk. || 37—38 *ἂν μὴ δυνάμενος τὸν φίλον βλάπτειν θέλῃς* | *καὶ μὴ δυνάμενος ὡς θέλων πείσῃ κακά* Erbse || 39 *ὁ γὰρ ἀδίκως τι καθ' ἑτέρου ζητῶν κακόν* Comp. II || 40 *προπάσχει* Comp. II, *πάσχῃ* R || 42 *φρονήσῃς . . . πάνθ'* Stu., *φρονίσῃς . . . πάντα* R || 43 *τύχῃς* Mk., *ἔσῃ* R || 45 *ἀγαθοῦ γείτονος γείτων* Stu., *ἀγαθοῦ γείτονος ἂν ποτε γείτων* R | *τύχῃς* Mk., *ἔσει* R || 46 *ὡς . . . προσμανθάνεις* Comp. II, *ὡς προσδιδάσκει ἀγαθὸν προλάμβανε* R || 47 *ἀδικεῖν* Stu., *ἀδικὴν* R || 50 *μετέρχεται* Boiss., *μετέρχετε γὰρ* R || 51 *εἶ δίκαιος* Boiss. *δίκαιος εἶ* R || 52 *εἰ μὴ γὰρ ἦς δίκαιος* Jk. *εἰμι δίκαιος ἢ γὰρ* R || 53 *καθ' αὑτήν* Mk., *καθ' ἑαυτήν* R || 54 *νοσεῖ* Boiss., *νοσῇ* R, *ποιεῖ* Stu., *νοσεῖς* Mk.

APPENDIX

1. e codice *Σ*

Ἀργὸν †οὐ δεῖ ζῆν οὐδὲ μίαν ἡμέραν.
Лѣнивоу нѣсть льзѣ жити сладцѣ

Ἀνδρῶν δικαίων ἐστὶ σωτὴρ† ὁ θεός.
Моужемъ правдивыи ѥсть б҃ъ сп҃съ ⁖

†Ἀρετὴ (μεγάλη) ἐστὶ συνδιατρίβειν μετὰ φίλων.†
Нравъ великъ имѣти дроужитисѧ съ дроугы.

Ἀνὴρ σιγηρὸς ὕστερον ἐπαρεῖ ἔριν.
Моужь молчаливъ послѣди въздвизаѥт гнѣвъ ⁖

Βεβαιοτάτην φιλίαν ἔχε πρὸς τοὺς γονεῖς.
Твердоу любовь имѣи къ родившимъ тобе ⁖

†Βλέπεις ἀεὶ μὲν εἰς τὸ λαβεῖν, εἰς τὸ δοῦναι δὲ οὐ θέλεις.†
На взѧтие всегда възираеши. А подати не хо́щеши ⁖

†Βρώσεως† περισσῆς (παρακαίρου) μηδὲ μικρὸν λάμβανε.
Не ꙗжь брашна лоукава. Да не скверна́въ наречешисѧ ⁖

Δῆλον ὅτι φοβοῦνται τοὺς κακοὺς καὶ οἱ ἄρχοντες.†

1. 1—4, 6—8, = Jagić, SBWA 1892 || 5 = Brunck², Nr. 97 | cf. mon. 113, 526

1. 1 *ἀργὸν πρέπει ζῆν* Sn. || 6 vel *λαβεῖν, δοῦναι οὐ θέλεις* Jagić ||

Δύ' ἡμέραι γυναικός εἰσιν ἥδισται·
ὅταν γαμῇ τις κἀκφέρῃ τεθνηκυῖαν.
Ἐσθλοῦ †ἀνδρός ἐστι φέρειν, ἃ δίδωσι θεός.
Ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν.
Ἕκαστος ἡμῶν καὶ ποιεῖ τεὶθισμένα.
†Ἐλεεῖν δεῖ τὸν ἀδικούμενον.†
Ἐν γῇ πένεσθαι κρεῖττον ἢ πλουτοῦντα πλεῖν.
Ἡδὺ† γὰρ ἡ παρ' ἀνδρὸς† δικαίου χάρις.
Ἡδύ γ' ἐν ἀδελφοῖς ἐστιν ὁμονοίας ἔρως.

Θησαυρός ἐστι πᾶσιν ἡ μήτηρ τέκνοις.

Имѣнїє ѥсть дѣтємъ м҃ти ⁘

Θησαυρός ἐστι φίλον ἀγαθὸν εὑρηκέναι.
†Ἱερὸς οὗν ἐστιν, ὅστις ἀεὶ λέγει πρὸς θεόν.†
†Ἴσθι† γυναικῶν τοὺς τρόπους· μιμοῦ δὲ μή.
Ἱκέτας σέβου, κἂν† ὑπερβάλλῃς τύχῃ.
Κακῷ† ἀνδρὶ οὐ προσήκει χρήματα.
Καλὸς γυναικὸς κόσμος ἔστ', ἂν νοῦν ἔχῃ.
†Καὶ γὰρ τὰ ῥόδα ἐν ἀκάνθαις φύεται.†
Λέγειν πολλοὶ μὲν δύνανται, μανθάνειν δ' οὐ πάντες.†

Вѣщати оумѣють мнози. А разоумѣти нє вси ⁘

†Λεπτὸν ἱερὸν ἀρκεῖ θεῷ, εἰ δίκαιόν ἐστι.†
Μηδέποτε μηδένα κατάκρινε.

9—10 = Stob. 4,22,35 (Hipponax fr. 68 Masson; Diehl, Anthol. Lyr., fasc. 3, fr. choliamb. adesp. 1) | cf. floril. papyr. Berol. 9772, Berl. Klassikertexte V 2, p. 130 || 11, 13—14, 16, 18—24, 26—28 = Jagić, SBWA 1892 || 12 = Stob. 4, 46, 14 (Soph. fr. 862 TGF²) | cf. mon. 51, 254 || 14 cf. mon. 251 || 15 = Stob. 4, 17, 15 (Antiph. fr. 101 Kock; mon. Mk. 664) || 17 = Men. II fr. 610 ~ Stob. 4, 27, 1 || 19 cf. mon. 810 || 22 cf. mon. 358 || 24 cf. mon. 393 || 25 = Sternbach, Wien. Stud. 9, 187, Nr. 22 | cf. mon. 403 || 26 cf. mon. 94

11 *ἐσθλοῦ γὰρ ἀνδρὸς δῶρα τοῦ θεοῦ φέρειν* Sn. || 17 *ὡς ἡδύ γ' ἐν ἀδελφοῖσιν ὁμονοίας ἔρως* Stob. (A), *ἐν ἀδελφοῖς ἐστιν* Stob. (SML), *ἡδύ γ' ἐν ἀδελφοῖς ἐστιν* Porson || 26 *λέγειν δύνανται πάντες, οὐ μαθεῖν δ' ὅμως* Sn. || 27 *θεῷ δίκαιον ὄν* Sn.

Θεοῦ σοφώτατον †δῶρον ἀνθρώποις τέχνη.

Б҃га премоудраго даръ ѥ҇с чл҃вкомъ хытрость ⁘

Μόνος ἔστ' ἀπαρηγόρητον ἀνθρώποις ἔρως.
†Μηδὲν τῇ διαβολῇ ὅμοιον θέλε ποιεῖν.†
Μέγιστον ἀγαθόν ἐστι μετὰ νοῦ χρηστότης.

Νόμῳ δὲ πείθου, ἄνομον† μηδὲν ποίει.

Закона послоушаи. И безаконны не твори николиже ⁘

†Νέμει ὁ θεὸς ἑκάστῳ, ὅπως θέλει.†
Οὐδὲν κατὰ λόγον γίγνεθ' ὧν ποιεῖ τύχη.
Ὁ μέγιστον ἀγαπῶν δι' ἐλάχιστ' ὀργίζεται.
Ὁ χρόνος ἁπάσης ἐστὶν ὀργῆς φάρμακον.
Ὅσος τὸ κατέχειν ἐστὶ τὴν ὀργὴν πόνος.
Πατρῷ' ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα.

Πάντων γὰρ οὖν κρεῖττον τὸ νοῦν ἔχειν πέλει.

На все оубо лѣпо ѥсть быти моудроу ⁘

Πᾶς ὁ πόνος ἡδύς, †ὅταν ᾖ μετὰ δόξης.

Всака болѣзнь сладъка ѥсть ѥгда ѥсть съ славою ⁘

Ῥᾴθυμος νοῦς οὐδέποτε† ἀλλάσσεται.
Ῥοπαῖς τὰ πάντα μεταβολαῖς τ' ἀλλάσσεται.

29, 32—34, 40—43 = Jagić, SBWA 1892 || 29 cf. mon. 334 30 = Stob. 4, 20, 41 (Men. II fr. 569) || 31 cf. Stob. 3, 42, 4 (Men. II fr. 539) || 32 = Stob. 3, 37, 8 (Men. II fr. 535) || 33 cf. mon. 527 35 = Stob. 1, 7, 5 (Men. II fr. 464) || 36 = Pap. VI 10 = Men. II fr. 599, 2 ∼ Stob. 4, 25, 18 (2) || 37 = Stob. 1, 8, 10 (Critias, fr. 2 TGF²) || 38 = Stob. 3, 20, 19 (Men. II fr. 517) ∼ Stob. 3, 20, 4 (2) (Philem. fr. 185 Kock) || 39 = Stob. 4, 22, 57 (1) (Men. II fr. 577, 1) = vs. 277 in collectione Arabica || 40 cf. mon. 866 || 42 cf. mon. 33, 395 || 43 cf. Comp. I 30

29 *τέχνη* Schm., *ἡ τέχνη* Jagić | *μαθήματ' ἀνδρὶ πανσόφου δῶρον θεοῦ* Sn. || 31 *μηδὲν δ' ὅμοιον διαβολῇ ποιεῖν θέλε* Sn. || 32 *μέγα ἀγαθόν ἐστιν ἡ σὺν νῷ φιλία* Jagić || 33 *⟨κ⟩ἄνομον* Sn. || 35 *οὐδὲν κατὰ τὴν γνώμην γίγνεται ὃ γίγνεται τύχῃ* Jagić || 40 *πέλει* Sn., *ἐστι* Jagić || 43 *πάντα ὁ θεὸς μόνος μεταβάλλει* Jagić, corr. Sn. ex Comp. I, 30.

Συγκέχυκε νῦν τὴν πίστιν ὁ καθ' ἡμᾶς βίος.
Τὸ συνεχὲς ἔργου παντὸς εὑρίσκει τέλος.
†Τῷ μὴ θέλοντι οὐκ ἔστιν ἐχθρὸς οὐδείς.†
Τοὺς εὐτυχοῦντας δεῖ† ἐπαρκεῖν τοῖς φίλοις.
Τοῖς εὐτυχοῦσι πάντα πίπτει† εὐκόλως.
Τὸ μηδὲν ἀδικεῖν πᾶσιν ἀνθρώποις πρέπει.
†Ὕβρις μεγάλη τοῖς ἐλευθέροις λόγοι βαρεῖς.†
†Ὑπὲρ βίαν μελέτα τὴν ἀνδρείαν.†
†Ὑπερηφανὲς ἔργον ἐστὶν τὸ μὴ παιδοποιεῖσθαι.†
Χαλινὸν ἔχε τῇ γλώσσῃ, †μὴ† εὐκόπως λαλῇ.
Χρεὼν γάρ εἰσι καὶ πανουργίαι ποτέ.
Ἀνὴρ δὲ μακρὰν †βιῶν μᾶλλον φρονεῖ.
Моужь много живыи паче смысланть ⁖

Ψόγου κράτει καὶ μηδὲν† ἄκαιρον ποίει.
Хоулоу воздержи ничтоже безъ лѣпоты не гли ⁖

Ψευδομένῳ† φίλῳ μὴ †πίστευε μηδαμῶς.
Лживоу дроугоу не вѣроуи николиже ⁖

Ὡς ἡδὺ τῷ φύσαντι τῶν τέκνων λόγοι.
Ὡς μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ.
Ὡς ἡδὺ τὴν θάλατταν ἀπὸ τῆς γῆς ὁρᾶν.
†Ὡς οὗτος ὁ βίος πλήρης ἐστὶ πλάνης καὶ λύπης πάσης.†

44 = Stob. 3, 28, 7 (Men. II fr. 523) || 45 = Stob. 3, 29, 12 (Anaxandrides fr. 63 Kock) || 46—48. 50—58, 61—63 = Jagić, SBWA 1892 || 48 cf. mon. 862 || 49 = Stob. 3, 9, 9 (Men. II fr. 498) | cf. mon. 767 || 52 cf. mon. 787 || 53 cf. mon. 318; cod. Laur. 57, 50, vs. 13 (append. 12, 13) || 59 = Pap. III 8 = Stob. 3, 37, 9 (Diphil. fr. 114 Kock) || 60 = Stob. 4, 17, 8 (Archippus fr. 43 Kook) || 61 cf. mon. 677

50 *μεγάλη*] *δὲ* Sn. || 55 *χρόνον βιώσας — ⏑ μᾶλλον σωφρονεῖ* Sn. || 57 *ψευδεῖ φίλῳ δὲ μὴ* Sn. || 58 *τῶν τέκνων λόγοι* Sn., *οἱ λόγοι τέκνων* Jagić

Ὡς χαλεπόν ἐστι τῆς φρονούσης ἐπιτυχεῖν.
Гѣдно ѥсть зѣло (моудроу) женоу поꙗти ·:·

†Ὡς ἡδὺ τὴν χάριν λαβεῖν ἐν καιρῷ.†
Ὡς ἡδὺ συνέσει χρηστότης κεκραμένη.

2. e codice H

†Εὔλογος χαλκὸς ἀλλ' ἄνους πλήρης πᾶσα.†
†Θέλε κρατεῖν ἀγαθὰ καὶ μισεῖν μίση.†
Ἴπτει τὸ μῖσος τὸν †μισοῦντα† καὶ θλίβει.
Ἱροὺς τιμήσας ἐσθλὸν †ἄκουε λόγον.
†Ἴσθι† ταπεινὸν ὠφελεῖσθαι καὶ μένειν.
Μή σ' †ἀπατήσῃ τοῦ κόλακος ὁ μῦθος.
Ξένιζε τοῖς πένησι τυγχάνων ξένος.
Ξένος δ' ὑπάρξας τοῖς ξενισταῖς ἐμπεσεῖς.
Ξύμπας βρότειος σπευδέτω Θεῷ μένειν.
Πλάνην δίωκε †μακρὰν ὡς φέρεις ἵνα.
Πλοῦτον βίᾳ μὲν μὴ θέλε· πλουτεῖν δ' εὐνόμως.
Ῥήσεις προφητῶν ἔξεχε, πλὴν καὶ ποίει.
Ῥᾶνον πένητας ⟨ταῖς⟩ ἀγαθαῖς εὐποιΐα⟨ι⟩ς.

1. 62 cf. mon. 150 || 63 cf. mon. 9, 872 || 64 = Stob. 3, 37, 2 (Men. II fr. 531)

1. 62 τῆς φρονούσης ἐπιτυχεῖν Sn., τὴν φρονοῦσαν γαμεῖν Jagić || 63 ὡς ἡδὺ τὴν χάριν ⏑ — × καιρίως / λαβεῖν Sn. || 64 ὡς ἡδὺ νοῦς τῷ χρησίμῳ συγκεκραμένος Jagić

2. 2 post mon. 345 || 7 cf. cod. Laur. 57, 50, 19 (append. 12, 19); Vit. p. 102, 14 (append. 13, 37); mon. 554

2. 1 εὔλογος ὁ χαλκός, ἀλλ' ἀνοίας κατάπλεως Erbse || 2 θέλοις κρατεῖν ἀγαθῶν τε καὶ μισεῖν κακά Erbse || 6 ὁ μῦθος Sn., οἱ μῦθοι || 8 ἐμπεσεῖ Th. || 10 πλάνην μακρὰν δίωκε, κἂν φέρῃς μικράν Erbse || 11 βίᾳ My., βίου cod. || 13 add. Erbse | ἀγαθαῖς Sn., ἀγαθοῖς cod.

Τοῖς ἀγαθὰ πράσσουσιν ἀγαθῶς δώσει Θεός.
Ὕβριν δίωξον καὶ †μίσησον† τοὺς φθλους.
Ὑσσῷ †μίσησον† τὸ κρατεῖν δίκαια δέ.
Ὑπὲρ λίθου χείριστος ἀνὴρ πυρνίας.
†Ὑπὲρ μέλιτός ἐστ' ἐσθλὸς γλυκύτατος.†
Φῶς τοῖς βροτοῖσι τυγχάνει τὸ τεκνίον.
Φίλους †ἀγάπα σχεῖν †ἐσθλοὺς ἢ χρήματα.
Φωτὶ προσεύχου ἣν θέλῃς ὀρθῶς κρίνειν.
Φύλασσε σαυτόν. πτῶμα δ' ἄλλου μὴ γέλα.
Χρυσοῦ στερηθεὶς αὖθις εὑρήσεις ἴσως,
καιροῦ ῥοπὴν δὲ ζημιωθεὶς οὐκέτι.
Χαρᾶς ἀμείνων οὔποθ' ὁ πλοῦτος ⟨πέλει⟩.
Χαίρειν χάριν δεῖ τῶν φίλων καὶ ἐν λύπαις.
Χρὴ μηδέν' ὀλβίζειν, πρὶν ἵκοιτ' εἰς τέλος.
Χάριν ἀγάπα ποιεῖν σὺ καὶ κέρδους τύχης.
†Χρῆμα τιμαλφὲς μάνθανε γράμμα πέλειν.†
Ψοίθης ἀνὴρ ὡς φαίνεται φαῦλος† τὸν λόγον.
†Ὠδῖνα χαρὰν ἦρξε καὶ δὴ θλίβους.†
Ὡς †ἀγέραστός ἐστιν ἀνθρώποις Ἅιδης.
Γλώσσης φειδωλῆς ἐν ἀνθρώποισιν ἄριστος θησαυρός.

2. 14 cf. mon. 212; Comp. I 159 || 20 cf. cod. Laur. 57. 50, 2 (append. 12, 2); mon. 471, 810 || 22 = cod. Laur. 57. 50, 26 (append. 12, 26) || 27 cf. mon. 498 || 33 hunc versum codex continet in fine litterae *Γ* | cf. Hesiodi 'opera et dies' 719

2. 14 *ἀγαθὰ . . . ἀγαθῶς* Sn., *ἀγαθῶς . . . ἀγαθὰ* cod. || 17 *πυρνίας*] *πυρπαλάμης* Erbse || 19 „*τεκνίον*“ Christum significare constat || 20 *μᾶλλον ἢ τὰ χρήματα* Erbse || 21 *προσεύχου ἣν θέλῃς* My., *προσεύσηκεν ζητῆς* cod. || 25 *ἀμείνων* Erbse, *ἄμεινον* cod. | *οὔποθ' ὁ* Sternbach, *οὔπαρο* cod. | ⟨*πέλει*⟩ Sternbach || 26 *χαίρειν . . . φίλων καὶ* Sternbach, *χάρσισι φίλων δεῖ φίλων καὶ* cod. | *ἐν λύπαις* Jk., *σὺν λύπαις* cod., *συλλυπεῖν* Sternbach | choliambus non correxi || 28 *ποιεῖν σὺ* Sn., *σὺ ποιεῖν* cod. | *καὶ ὡς* vel *κἂν* Erbse | *τύχοις* Erbse || 29 *χρῆμα* Sternbach, *χεῖμα* cod. || 30 *ψευδὴς ἀνὴρ ὡς κήδεται φαύλων λόγων* Erbse || 32 *ὧς ἐστ' ἀγέραστος τοῖς βροτοῖς ᾅδης θεός* Erbse || 33 Hesiodi opera et dies 719 *γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισι ἄριστος* | *φειδωλῆς* . . . . .

3. e codice R

Ζήτει, κράτιστε, δόξαν ἢ κῦδος φέρει.
Ζήτει σεαυτῷ σύμμαχον.
Ζήτει φιλεῖν μέν, ἀλλὰ παντὶ φιλτάτην
ζωὴν ἐφεύρῃς ταῦτα πράττων, ὦ φίλος.
Ἰδὼν πονηροὺς ἄνδρας εὐθέως φύγε,
ἰδὼν δὲ χρηστοὺς εὐμενῶς ἔρχου φίλος.
Καλὸν βίον πόθησον ἢ κακοὺς τρόπους.
καλοὺς πόθησον, τοὺς κακοὺς λίπε τρόπους.
Καὶ γὰρ καλὸς μὲν προξενήσει σοι κλέος,
κακὸς δὲ μᾶλλον ὕβριν ἢ δόξαν φέρει.
Κόλαζε θυμὸν καὶ τὰ σαρκὸς μὴ φίλει·
καλὸν κολάζειν σάρκα, μηδαμῇ ψυχήν.
Μόνη πέφυκε πίστις ἐργάτις πόνων.
Μόνος μόνῳ σπούδαζε τῷ Θεῷ πρέπειν.
Μορφοῦσι κάλλος οἱ καλοὶ ψυχῆς τρόποι.

4. e codice F

Ἀνὴρ στόμαργος εἰς κακῶν πίπτει βάθος.
Ὦ τοῖς, ἃ κατέλιπον, ποθοῦσιν ⟨αὖ⟩ πάλιν,
